ΑΛΕΞΑΝΔΡΟΥ
ΑΦΡΟΔΙΣΙΕΩΣ

Πρὸς τοὺς Αὐτοκράτορας
Περὶ ΕΙΜΑΡΜΕΝΗΣ
ΚΑΙ
ΤΟΥ ΕΦ' ΗΜΙΝ.

ALEXANDRI
APHRODISIENSIS

Ad Imperatores
De FATO & de eo quod noſtræ poteſtatis eſt.

Cui acceſſit,
ΑΜΜΩΝΙΟΥ τοῦ ΕΡΜΕΙΟΥ ΕΙΣ ΤΟ τοῦ Ἀριστοτέλους περὶ Ἑρμηνείας τμῆμα δεύτερον Ὑπόμνημα

Ammonii Hermiæ in libri Ariſtotelis de Interpretatione Sectionem ſecundam Commentarius.

Cum Latina utriuſque Verſione.

LONDINI,
Typis *Thomæ Roycroft*, Impenſis *Jo. Martin*, *Jacobi Alleſtrye*, & *Tho. Dicas*, ad inſigne *Campanæ in Cœmiterio* D. Pauli, 1658.

teſt
Sch
pub
nis
rat
pa
cis
par
par
&
cin
ſta
ctor
(n
ces,
tic
dem

Lectori.

E*N tibi bone Lector, qui Græcas Literas & antiquos mores colis, eruditam de Fato & Arbitrij humani poteſtate diſſertatiunculam, quam Peripateticæ Scholæ columen Alexander Aphrodiſienſis, ad publica commoda elucubratam, duobus magnis nominibus, Severo & Antonino Imperatoribus (tibique, ſi ea uti velis) nuncupavit. Quæ in Aldinis exemplaribus Græcis truncata ſunt, aut quoviſmodo mutilata, partim ex Euſebio* Ευαγγελ Προπαρασκ : Βιϐ. ϛ *partim ex conjectura non vana reſtituimus ; & verſionem perſpicuam magis quam concinnam adjecimus. Nec quicquam jam obſtat aut deeſt, quo minus hoc uno fretus ductore omnes Cleanthis argutias, & nexus (non ita Fatales & inextricabiles) explices, adeoque ferali dogmati, e Zenonis porticu in Mahumedis gynæceum jamdudum demigranti, & Chriſtianorum animos non* *ſemel aut fruſtra pulſanti, ſtatimque, ſi admittatur, omnem bonæ mentis curam, aut malæ metum excuſſuro, ſolenne & ultimum vale dicas.*

Unum interim Ammonij Hermiæ, *ex ipſius in lib.* περὶ Ἑρμην. *Commentarijs deſumptum* ἀποσπασμάτιον, *Alexandro noſtro plane* συνῳδὸν *&* σύμψηφον *ex Veneto Fratrum* Nicolinorum *exemplari (ſed eo ad amuſſim Manuſcripti Bodleiani recuſo, & mendis quæ latebant pauculis liberato) huc transferri, & auctarij loco appendi, teque neſcire quiſnam has tibi fruges appoſuerit, non gravaberis.*

Utere, Lector, & vale.

Alexandri Aphrodiſienſis liber
ad Imperatores conſcriptus
DE FATO, &
De eo quod noſtræ eſt poteſtatis.

Erat quidem mihi in votis, Maximi Imperatores, Severe & Antonine, ut ipſi apud vos eſſe, mihi contingeret & conſpicari & alloqui vos, & gratias agere pro beneficiis ſæpenumero a vobis acceptis, ut qui omnia ſemper quæ poſtulaverim obtinuerim, ſimulque teſtimonium acceperim, dignum me eſſe qui quæ poſtulaveram obtinerem. Cum vero illi, qui in templis ipſis coram ſacrificare non poteſt, ex omni loco & ubilibet ipſis ſacra facere liceat, & donaria mittere, quæ ipſe afferre nequeat; ego quidem hac libertate, qua circa numen uti licet, circa vos uti auſus ſum, & aliquas vobis primitias fructuum noſtrorum in offertorium mittere, donum quidem quod præ aliis omnibus, vobis maxime proprium futurum eſt. Quodnam enim donum iis, qui ſincere philoſophiam & colunt & promovent; magis proprio jure afferri poteſt, quam liber, qui philoſophicam contemplationem

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ
Πρὸς τοὺς Αὐτοκράτορας,
ΠΕΡῚ ΕἹΜΑΡΜΈΝΗΣ ΚΑῚ ΤΟΥ͂ ἘΦ᾽ ἩΜΙ͂Ν.

ἮΝ μὲν δὴ εὐχῆς μοι, μέγιστοι Αὐτοκράτορες, Σεβῆρε καὶ Ἀντωνῖνε, αὐτῷ γενομένῳ παρ᾽ ὑμᾶν, ἰδεῖν τε ὑμᾶς, καὶ προσειπεῖν, καὶ καθομολογῆσαι χάριν ἀνθ᾽ ὧν ἔπαθον εὖ παρ᾽ ὑμῶν πολλάκις, ἀεὶ τυχὼν πάντων ὧν ἠξίωσα, μετὰ μαρτυρίας, ὡς δίκαιος εἴη τυγχάνειν τοιαῦτα αἰτούμενος. Ἐπεὶ δὲ ἐφᾶται, καὶ εἰ μὴ παρών τις τοῖς ἱεροῖς θύειν δύναται, τὸ θύειν αὐτοῖς πανταχόθεν τέ, καὶ πανταχοῦ, καὶ πέμπειν ἀναθήματα, ἃ μὴ κομίζειν αὐτός οἷός τε, ἐθάρσησα πρὸς ὑμᾶς τῇ πρὸς τὸ θεῖον ἐξουσία, καὶ τινας ἀπαρχὰς ὑμῖν τῶν ἡμετέρων καρπῶν ἀνάθημα πέμψαι, οἰκειότατον ὑμῖν ἀναθημάτων ἁπάντων. Τί γὰρ ἂν οἰκειότερον τοῖς γνησίως φιλοσοφίαν τιμῶσί τε, καὶ προάγουσιν, ἀνάθημα γένοιτο, βιβλίου ὑπισχνουμένου θεωρίαν φιλόσοφον περιέχειν, καὶ τὴν δόξαν τὴν Ἀριστοτέλους, ἣν ἔχει περί τε εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν, οὗ τῆς φιλοσοφίας προΐσταμαι, ὑπὸ τῆς ὑμετέρας μαρτυρίας διδάσκαλος αὐτῆς κεκηρυγμένος. Ἔστι δὲ οὐδενὸς δεύτερον τῶν κατὰ φιλοσοφίαν δογμάτων τοῦτο τὸ δόγμα. ἥ τε γὰρ ἀπ' αὐτοῦ χρεία πανταχοῦ τε καὶ ἐπὶ πάντα διατείνει. οὐ γὰρ ὁμοίως περὶ τὰς πράξεις ἔχουσιν οἵ τε πάντα ἐξ ἀνάγκης τε καὶ καθ' εἱμαρμένην γίγνεσθαι πεπιστευκότες, καὶ οἷς δοκεῖ γίγνεσθαί τινα, καὶ μὴ τοῦ πάντως ἕπεσθαι προκαταβεβλημένας αἰτίας ἔχοντα· ἥ τε εὕρεσις τῆς ἀληθείας τῆς ἐν αὐτῇ χαλεπωτάτη, τῷ δοκεῖν τῶν δοξῶν ἑκατέρᾳ πολλὰ ἀντιμαρτυρεῖν τῶν ἐναργῶν. Ἐπεὶ δὲ ἐνίων δογμάτων κατασκευὴ διὰ τὴν πρὸς τοὺς μὴ ὁμοίως λέγοντας ἀντιλογίαν γίνεται φανερωτέρα (ὧν ἐν τοῖς μάλιστα κατ' αὐτοῦ οὐδὲν οἶμαι μεῖζω, ἢ κατὰ τὴν Ἀριστοτέλους δόξαν εἰπεῖν) ποιήσομαι τὸν λόγον πρὸς τοὺς οὐχ ὁμοίως ἐκείνῳ περὶ τούτων εἰρηκότας, ὅπως ἐν τῇ τῶν λεγομένων παραθέσει φανερώτερον ἡμῖν τἀληθὲς γένηται. Ἔστι δὲ ἡ τῶν λόγων τῶν ἡμετέρων προαίρεσις οὐ πρὸς ἐπίδειξιν νενευκυῖα, ἀλλὰ πρὸς ἐξέτασίν τε καὶ διδασκαλίαν τῶν προκειμένων ἀκριβεστέραν· ἣν καὶ ὑμᾶς πᾶσιν οἷς πράσσετε ὁρᾶν ἔνεστιν ἐζηλωκότας, οὐδεμίαν γοῦν πρᾶξιν ὑμῶν ἐστιν εὑρεῖν ἢ τὴν φαντασίαν περὶ τῆς ἀληθείας

comprehendere pollicetur, & ſententiam, quam de fato & de eo quod noſtræ eſt poteſtatis concepit Ariſtoteles? cujus ego & Philoſophiæ profeſſor & magiſter publico teſtimonij veſtri præconio conſtitutus ſum. Neque enim alia eſt in univerſa Philoſophia doctrina quæ huic præferri debeat; quæ enim ab ea eſt utilitas, quoquoverſum ſe & ad omnia extendit. Non enim eodem modo circa res gerendas ſe habent illi, qui ex neceſſitate & ſecundum fatalem legem omnia fieri credunt, aliique qui quædam fieri putant, quæ cauſas præcedaneas neceſſario ea efficientes non habent. Quinimo difficilis plane in hac quæſtione veritatis indagatio futura eſt, ideo quod & huic & illi ſententiæ multa ſint, quæ manifeſte adverſari videantur. Cum vero quarundam aſſertionum confirmatio ex eorum qui ſecus affirmant oppoſitione luculentior evadat (qua in re non eſt me arbitro majoris momenti quicquam, quam ut in iis præſertim quæ contra eum ſcripta ſunt, ſecundum Ariſtotelis ſententiam loquamur) ad eos quidem ſermonem convertam, qui non eadem cum illo de his affirmarunt ut juxta poſitis iis quæ utrinque dicuntur, magis nobis eluceſcat veritas. Diſſertationum interim noſtrarum inſtitutum non ad oſtentationem dirigitur, ſed ad inquiſitionem ſimul ac explicationem eorum, quæ propoſita ſunt, quam maxime accuratam: Cui & vos in omnibus quæ agitis diligenter operam dare videmus,

demus, nulla enim actionum veſtrarum conſpicitur, quæ oſtentationem potius quam veritatem ſibi propoſuerit. Si quid vero vobis, per otium in librum hunc incidentibus, viſum fuerit ulteriori explicatione indigere, hunc mihi honorem a vobis indulgeri obſecro, ut ad me de illis quæ ſub quæſtionem cadant, ſcribatur. Non enim facile eſt uno eodemque libro, & res ipſas, quæ tractandæ proponuntur, & ea omnia, quibus ad explicationem ipſarum uti fas eſt, dilucidare.

Eſſe igitur aliquid Fatum, cauſamque illud cenſendum eſſe, quod quædam fataliter fiant, argumentum ſatis firmum exhibet anticipata hominum opinio, aut perſuaſio. Neque enim vana res eſt, neque a vero aberrans, communis hominum natura, quotieſcunque de quibuſdam rebus inter ſe conſentiunt omnes; iis tantum exceptis qui ob aliqua prius ab ipſis ſuſcepta dogmata, & ut ea quæ ſunt iis conſectanea tueantur, in diverſa abire coguntur (Quam ob cauſam Anaxagoras Clazomenius, quamvis in iis quæ ad Phyſiologiam pertinent, non contemnendus alioquin Philoſophus, fidem tamen hac in re meruiſſe non putandus eſt, cum communi omnium hominum de Fato perſuaſioni adverſetur. Hic enim nihil eorum quæ fiunt, ex Fato fieri aſſerit, ſed inane id nomen eſſe;) Quid vero demum fatum ſit, & in quibus locum habeat, nondum id expeditum eſt. Illud enim nondum

ſibi

σκοπὸν πεποίηται. εἰ δέ τι, κατὰ σχολὴν ἐντυγχάνουσιν ὑμῖν τῷ βιβλίῳ, δεῖσθαι δόξει ῥηθῆναι γνωριμώτερον, ἀξιῶ τιμηθῆναι καὶ ταύτῃ τῇ τιμῇ παρ' ὑμῶν. καὶ γραφῆναί μοι περὶ τῶν ζητουμένων, οὐδὲ γὰρ ῥᾴδιον πάντα γνώριμα ποιῆσαι δι' ἑνὸς βιβλίου, αὐτά τε τὰ προκείμενα, καὶ οἷς τις χρῆται πρὸς τὴν μήνυσιν αὐτῶν.

Τό μὲν οὖν εἶναι τι τὴν εἱμαρμένην καὶ αἰτίαν εἶναι τοῦ γίγνεσθαί τινα κατ' αὐτὴν ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησι πρόληψις. οὐ γὰρ κενὸν οὐδ' ἄστοχον τἀληθοῦς ἡ κοινὴ τῶν ἀνθρώπων φύσις, καθ' ἣν περὶ τινων ὁμοδοξοῦσιν ἀλλήλοις ὅσοι γε αὐτῶν μὴ διὰ τινας προκαταβεβλημένας δόξας ὑφ' αὐτῶν, διὰ τὸ σώζειν βούλεσθαι τὴν πρὸς αὐτὰς ἀκολουθίαν, ἄλλως ἀναγκάζονται λέγειν (δι' ἣν αἰτίαν οὐδὲ Ἀναξαγόρας ὁ Κλαζομένιος, καίτοι τἄλλα ὢν ἐν τοῖς τὴν φυσικὴν φιλοσοφίαν φιλοσοφήσασιν οὐκ ἀπερριμμένος, οὐκ ἀξιόπιστος ἀντιμαρτυρῶν τῇ κοινῇ τῶν ἀνθρώπων πίστει περὶ εἱμαρμένης, λέγει γὰρ οὗτος γε μηδὲν τῶν γινομένων γίνεσθαι καθ' εἱμαρμένην, ἀλλὰ εἶναι κενὸν τοῦτο τοὔνομα.) Τί δέ ποτ' ἐστὶν ἡ εἱμαρμένη, καὶ ἐν τίσιν, οὐκέτι· οὐ γὰρ μόνον οὐκ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ ἡ τῶν ἀνθρώπων κοινὴ πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι. οὔτε γὰρ ἀλλήλοις ἅπαντες, §. II.

ἀλλ'

ἀλλὰ οὐδὲ αὐτός αὐτῷ τις περὶ αὐτῆς ἀεὶ τὰ αὐτὰ δοξάζει. πρὸς γὰρ τοὺς καιροὺς τε καὶ τὰς περιεστώσας τύχας, καὶ τὴν περὶ τῆς εἱμαρμένης δόξαν μεταφέρουσιν. Ὅσοι μὲν γὰρ αὐτῶν πάντα καθ' εἱμαρμένην γίγνεσθαι λέγουσι, τὴν εἱμαρμένην ὑπολαμβάνουσιν ἀπαράβατόν τινα αἰτίαν εἶναι καὶ ἀναπόδραστον. εἰσὶ δ' οἷς οὐ πάντα τὰ γινόμενα δοκεῖ γίνεσθαι καθ' εἱμαρμένην, ἀλλ' εἶναι τινας ὑπολαμβάνουσι τῶν γιγνομένων καὶ ἄλλας αἰτίας. ἀλλ' οὐδὲ τὴν εἱμαρμένην αὐτὴν τὸ πάγιον τε καὶ ἀπαράβατον ἔχειν τίθενται, ἀλλὰ γίγνεσθαί τινα καὶ τῶν καθ' εἱμαρμένην γίγνεσθαι πεφυκότων, οὐ κατ' αὐτὴν, ἀλλὰ παρὰ μοῖραν, ὡς οἱ ποιηταί φασι, καὶ παρὰ τὴν εἱμαρμένην. Ἐστὶ δ' οἷς ποτὲ πάντα γίνεσθαι τὰ γινόμενα δοκεῖ καθ' εἱμαρμένην, καὶ μάλιστ' ἂν αὐτοῖς τὰ τῆς τύχης ἀντιπίπτῃ· κατορθοῦντες δὲ ἐν τοῖς προκειμένοις, αὐτοὺς αἰτίους εἶναι τῶν κατορθωμάτων ὑπολαμβάνουσιν, ὡς οὐκ ἂν ἀπαντησάντων τῶν ἀπηντηκότων, εἰ μὴ αὐτοὶ τάδε μᾶλλον ἔπραξαν ἀντὶ τῶνδε, ὡς ἔχοντες καὶ τοῦ μὴ πράττειν αὐτὰ τὴν ἐξουσίαν. Δι' ἣν διαφωνίαν ἀναγκαία τοῖς φιλοσοφοῦσιν ἡ ζήτησις περὶ τῆς εἱμαρμένης, οὐκ εἰ ἔστιν, ἀλλὰ τί ποτ' ἐστι καὶ ἐν τίσι τῶν γιγνομένων τε καὶ ὄντων ἐστὶν ἡ ποιά δε φύσις.

§. III. Ὅτι μὲν οὖν αἰτίαν τινὰ τὴν εἱμαρμένην τοῖς γιγνομένοις εἶναι, λέγουσι πάντες, οἱ περὶ εἱμαρμένης λέγοντές τι, γνώριμον· ταύτην

ſibi invicem omnes homines explicarunt, neque id ſolum, ſed neque communis hominum notio ad illud exprimendum ſufficit; neque enim omnes inter ſe, ſed nec quiſpiam, ita ut ſibi ipſi conſtet, hac in re eadem affirmat. Prout enim ſunt tempora, caſuſque rerum, ita ſuam de Fato ſententiam mutant. Quotquot enim eorum omnia fatali lege produci aſſerunt, fatum immutabilem quandam & inevitabilem cauſam eſſe præſumunt. Alii vero non omnia ex Fato fieri exiſtimant, ſed alias & alias eventuum cauſas aſſignandas eſſe ſtatuunt, neque enim adeo obſtinatam & immutabilem Fato vim ineſſe ſtatuunt, ut ipſorum etiam quæ ex Fato fieri nata ſunt, omnia ex Fato fiant, cum alia, ut Poetæ loquuntur, extra ſortem Fatumque facta ſint. Sunt vero alii quibus omnia ex Fato fieri videntur quæ fiunt, idque tunc maxime, cum adverſa ipſis fortuna acciderit. Si quando vero res proſpere & ex propoſito iis ſuccedant, ſe ſtatim feliciorum eventuum cauſas eſſe exiſtimant, tanquam non eventura fuiſſent quæ evenerant, niſi illi hæc fecerint, repudiatis illis, ut qui habeant ſcilicet poteſtatem ea non faciendi quæ fecerunt. Ob hanc igitur ſententiarum varietatem, Philoſophis plane neceſſaria eſt hæc de Fato diſquiſitio, non an ſit, ſed quid demum ſit & inquibus eventibus rebuſque vis hujuſmodi locum habeat. Quod igitur omnes qui de Fato quicquam loquuntur, illud eorum quæ fiunt cauſam aliquam eſſe affirment, manifeſtum eſt; hanc enim aſſignant & affirmant cauſam eſſe, quod fiant ea quæ fiunt eo modo quo fiunt. Quandoquidem vero cauſæ vox multis modis ſumatur, neceſſarium eſt ut qui quæſtionem hanc ordinate tractaturi ſunt, primo ſtatuant, ſub quo genere cauſarum poni Fatum debeat. Nihil enim eorum quæ pluribus modis ſumuntur, ſine diſtinctione prolatum, noſci poteſt. Cauſæ vero omnium rerum in quatuor claſſes, ſicut divinus Ariſtoteles monſtravit, dividuntur. Cauſarum enim aliæ ſunt efficientes, aliæ materiæ rationem habent: Eſt & quædam inter eas formalis cauſa, & præter has tres, etiam finalis cauſa, cujus gratia eſt quod quicquam fiat. Et tot quidem ſunt cauſarum differentiæ, quicquid enim alicujus rei cauſa eſt, ſub harum cauſarum aliqua reperietur. Quamvis enim ſingula quæ fiunt tot cauſis opus non habent, ea tamen quæ plurimis indigent, prædictum numerum non excedunt. Manifeſtior autem harum diſtinctio futura eſt, ſi in aliquo eorum quæ fiunt exemplo ſpectetur. Sit ergo in ſtatua hæc nobis monſtrata cauſarum diſtinctio. Statuæ quippe cauſa efficiens eſt is qui eam condidit artifex, quem ſtatuarium vocamus: Materiæ autem vicem ſupplet æs, aut lapis, qui ei ſubjicitur, aut quodcunque illud eſt quod ab artifice ſecundum artem figuratur. Illud enim etiam in cauſa eſt, quod facta fuerit, aut exiſtat ſtatua.

ταύτην γὰρ ἀποδιδόασί τε καὶ φασιν αἰτίαν εἶναι τοῦ γίγνεσθαι τὰ γιγνόμενα, ὃν τρόπον γίνεται. ἐπεὶ δὲ πλεοναχῶς λέγεται τὰ αἴτια, ἀναγκαῖον τοῖς ἐν τάξει τὸ πρόβλημα μετιοῦσιν, πρῶτον λαβεῖν ὑπό τινα τρόπον τῶν αἰτίων χρὴ τιθέναι τὴν εἰρημένην· οὐδὲν γὰρ τῶν πολλαχῶς λεγομένων γνώριμον, χωρὶς τῆς οἰκείας διαιρέσεως λεγόμενον. Διαιρεῖται δὴ τὰ τῶν γινομένων αἴτια εἰς τόπους αἰτιῶν τέσσαρας, καθὼς ὁ θεῖος Ἀριστοτέλης δέδειχεν. Τῶν γὰρ αἰτίων τὰ μὲν ἐστι ποιητικὰ, τά δὲ ὕλης ἐπέχει λόγον, ἔστι δὲ τις ἐν αὐτοῖς καὶ ἡ κατὰ τὸ εἶδος αἰτία. παρὰ δὲ τὰς τρεῖς ταύτας αἰτίας ἔστιν αἴτιον ἐν αὐτοῖς καὶ τὸ τέλος, οὗ χάριν καὶ τὸ γινόμενον γίνεται. καὶ τοσαῦται μὲν αἱ τῶν αἰτίων διαφοραὶ, ὅ,τι γὰρ ἂν αἴτιον ᾖ τινὸς, ὑπὸ τούτων τι τῶν αἰτίων ὂν εὑρεθήσεται. καὶ γὰρ εἰ μὴ πάντα τὰ γινόμενα τεσσάρων αἰτίων δεῖται, ἀλλά τά γε πλείστων δεόμενα οὐχ ὑπερβαίνει τὸν ἀριθμὸν τὸν εἰρημένον. γνωριμωτέρα δ' ἂν αὐτῶν ἡ διαφορὰ γίγνοιτο, εἰ ἐπὶ παραδείγματός τινος τῶν γινομένων ὁραθείη. Ἔστω γὰρ ἐπ' ἀνδριάντος ἡμῖν ἡ τῶν αἰτίων δεικνυμένη διαίρεσις. τοῦ δὴ ἀνδριάντος, ὡς μὲν ποιητικὸν αἴτιον, ὁ ποιήσας τεχνίτης, ὃν ἀνδριαντοποιὸν καλοῦμεν, ὡς δὲ ἡ ὕλη, ὁ ὑποκείμενος χαλκὸς ἢ λίθος, ἢ ὅ,τι ἂν ᾖ τὸ ὑπὸ τοῦ τεχνίτου σχηματιζόμενον κατὰ τὴν τέχνην, αἴτιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδριάντα. Ἔστι δὲ καὶ τὸ εἶδος τὸ ἐν τῷ ὑποκειμένῳ τούτῳ γινόμενον ὑπὸ τοῦ τεχνίτου, καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον, δι' ὅ ἐστιν εἶδος δισκεῦον ἢ ἀκοντίζον, ἢ ἐπ' ἄλλου τινὸς ὡρισμένου σχήματος. οὐ μόνα δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος γενέσεως αἴτιά ἐστιν, οὐδενὸς γὰρ τῶν αἰτίων τῆς γενέσεως αὐτοῦ δεύτερον τὸ τέλος οὗ χάριν γέγονε, τουτέστιν ἡ τιμή τινος, ἢ εἰς θεὸν εὐσέβειά τις. ἄνευ γὰρ τοιαύτης αἰτίας, οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. Ὄντων τοίνυν τούτων τῶν αἰτίων τεσσάρων, καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων γνώριμον, τὴν εἱμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δικαίως ἂν καταριθμοῖμεν, ἀναλογίαν σώζουσαν πρὸς τὰ γινόμενα κατ' αὐτὴν, τῷ τοῦ ἀνδριάντος δημιουργῷ τεχνίτῃ.

§. IV. Τούτου δ' οὕτως ἔχοντος, ἀκόλουθον ἂν εἴη περὶ τῶν ποιητικῶν αἰτίων ποιήσασθαι λόγον, οὕτω γὰρ ἔσται γνώριμον. εἴτε πάντων τῶν γινομένων χρὴ τὴν εἱμαρμένην αἰτιᾶσθαι, εἴτε δεῖ καὶ ἄλλοις τισὶ παρὰ τήνδε συγχωρεῖν, ὡς οὖσι ποιητικοῖς τισιν αἰτίοις. Ἁπάντων δὴ τῶν γινομένων Ἀριστοτέλης ποιούμενος τὴν διαίρεσιν, τὰ μὲν αὐτῶν τινος χάριν γίνεσθαι λέγει, σκοπόν τινα καὶ τέλος τῶν γινομένων προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτὰ, τὰ δ' οὐδενὸς, ὅσα γὰρ οὐ κατὰ πρόθεσίν τινα ὑπὸ τοῦ ποιοῦντος γίνεται, οὐδ' ἐπὶ τέλος ὡρισμένον ἔχει τὴν ἀναφορὰν, τοιαῦτα ὁποῖα ἐστι καρ-

ſtatua. Forma verò eſt illud, quod in materia ſubjecta ab artifice producitur. Et hæc etiam ſtatuæ cauſa eſt, propter quam diſco aut jaculo ludentis formam habeat, aut aliam quamlibet determinatam figuram. Nec vero hæ tantum cauſæ ſunt, quod ſtatua fiat, ſed finis etiam nulli cauſarum producendæ ſtatuæ ſecundus cenſendus, cujus ſcilicet gratiâ fiat, ut vel honos alicujus vel erga Deum pietas aliqua, ſine tali enim cauſa ſtatua prorſus facta non fuiſſet. Cum igitur tales ſint hæ totidem cauſæ, & ſic inter ſe manifeſte diſtinctæ, ſequitur Fatum inter cauſas efficientes meritò a nobis cenſendum eſſe, ut quod in iis quæ ab eo fiunt directè reſpondeat artifici ſtatuæ conditori.

§. IV. Quæ cum ita ſint, ſequitur ut de cauſis efficientibus verba faciamus, ſic enim palam fiet, num omnium quæ fiunt cauſa fatum cenſendum ſit, an vero aliis præter fatum concedi poſſit, quod ſint quarundam rerum cauſæ efficientes. Ariſtoteles quidem omnium quæ fiunt diviſione factâ, quædam eorum alicujus rei gratiâ fieri affirmat (aliquem ſibi finem aut ſcopum proponente eo qui illa efficit) quædam verò nullius: Quæcunque enim ſine aliquo ſibi propoſito ſcope a quovis fiunt, neque ad determinatum finem referuntur (qualia ſunt & feſtuca-

τιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδριάντα· Ἔστι δὲ καὶ τὸ εἶδος τὸ ἐν τῷ ὑποκειμένῳ τούτῳ γινόμενον ὑπὸ τοῦ τεχνίτου, καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον, δι' ὅ ἐστιν εἶδος δισκεῦον ἢ ἀκοντίζον, ἢ ἐπ' ἄλλου τινὸς ὡρισμένου σχήματος. οὐ μόνα δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος γενέσεως αἴτιά ἐστιν, οὐδενὸς γὰρ τῶν αἰτίων τῆς γενέσεως αὐτοῦ δεύτερον τὸ τέλος οὗ χάριν γέγονε, τουτέστιν ἢ τιμή τινος, ἢ εἰς θεὸν εὐσέβειά τις. ἄνευ γὰρ τοιαύτης αἰτίας, οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. Ὄντων τοίνυν τούτων τῶν αἰτίων τοσούτων, καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων γνώριμον, τὴν εἱμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δικαίως ἂν καταριθμοῖμεν, ἀναλογίαν σώζουσαν πρὸς τὰ γινόμενα κατ' αὐτὴν, τῷ τοῦ ἀνδριάντος δημιουργῷ τεχνίτῃ.

§. IV. Τούτου δ' οὕτως ἔχοντος, ἀκόλουθον ἂν εἴη περὶ τῶν ποιητικῶν αἰτίων ποιήσασθαι λόγον, οὕτω γὰρ ἔσται γνώριμον· εἴτε πάντων τῶν γινομένων χρὴ τὴν εἱμαρμένην αἰτιᾶσθαι, εἴτε δεῖ καὶ ἄλλοις τισὶ παρὰ ταύτην συγχωρεῖν, ὡς οὖσι ποιητικοῖς τινων αἰτίοις. Ἁπάντων δὴ τῶν γινομένων Ἀριστοτέλης ποιούμενος τὴν διαίρεσιν, τὰ μὲν αὐτῶν τινος χάριν γίνεσθαι λέγει, σκοπόν τινα καὶ τέλος τῶν γινομένων προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτὰ, τὰ δ' οὐδενός, ὅσα γὰρ οὐ κατὰ πρόθεσίν τινα ὑπὸ τοῦ ποιοῦντος γίνεται, οὐδ' ἐπὶ τέλος ὡρισμένον ἔχει τὴν ἀναφορὰν, τοιαῦτα ὁποῖα ἐστι καρ-

νον

ſtatua. Forma verò eſt illud, quod in materia ſubjecta ab artifice producitur. Et hæc etiam ſtatuæ cauſa eſt, propter quam diſco aut jaculo ludentis formam habeat, aut aliam quamlibet determinatam figuram. Nec vero hæ tantum cauſæ ſunt, quod ſtatua fiat, ſed finis etiam nulli cauſarum producendæ ſtatuæ ſecundus cenſendus, cujus ſcilicet gratiâ fiat, ut vel honos alicujus vel erga Deum pietas aliqua,ſine tali enim cauſa ſtatua prorſus facta non fuiſſet. Cum igitur tales ſint hæ totidem cauſæ,& ſic inter ſe manifeſte diſtinctæ, ſequitur Fatum inter cauſas efficientes meritò a nobis cenſendum eſſe, ut quod in iis quæ ab eo fiunt directè reſpondeat artifici ſtatuæ conditori.

§.IV. Quæ cum ita ſint,ſequitur ut de cauſis efficientibus verba faciamus, ſic enim palam fiet, num omnium quæ fiunt cauſa fatum cenſendum ſit, an vero aliis præter fatum concedi poſſit, quod ſint quarundam rerum cauſæ efficientes. Ariſtoteles quidem omnium quæ fiunt diviſione factâ, quædam eorum alicujus rei gratiâ fieri affirmat (aliquem ſibi finem aut ſcopum proponente eo qui illa efficit) quædam verò nullius : Quæcunque enim ſine aliquo ſibi propoſito ſcope a quovis fiunt, neque ad determinatum finem referuntur (qualia ſunt & feſtucarum quarundam apprehenſiones, & circumgyrationes, & capillorum contrectationes, extenſioneſque, & quæ ad hunc modum ſimiliter fiunt) ea, licet palam ſit, quòd & ipſa fiant, non tamen cauſam finalem habent, aut cujus gratiâ fiant. Quæ igitur hoc modo fiunt, cum ſine ſcopo quovis ſibi propoſito, & ſimpliciter fiant, nullam diſtinctionem habent, dignam de qua loquamur. Eorum verò quæ ad finem aliquem referuntur, & alicujus rei gratiâ fiunt, quædam ſecundum naturam, quædam ſecundum rationem fiunt. Quæ enim naturam productionis ſuæ cauſam habent, ſecundum numeros quoſdam, & ordinem determinatum, ad finem procedunt (quem cum aſſecuta ſunt, fieri deſinunt) niſi aliquid iis impedimenti interveniat in via ad finem illum, qui illis ſecundum naturam proponitur; ſed & ea quæ ſecundum rationem fiunt, finem aliquem habent, nihil enim eorum quæ ſecundum rationem fiunt, caſu evenit, ſed ad ſcopum aliquem referuntur ea omnia. Fiunt autem ſecundum rationem, quæcunque ab efficientibus fiunt, intercedente deliberatione & conſilio, quo pacto facienda ſunt. Hunc in modum fiunt omnia artificialia, & quæ ex electione procedunt. Quæ quidem a naturalibus differunt, eo quòd naturalia in ſeipſis habeant initium,

&

φῶν τέ τινων διακρατήσεις καὶ περιστροφαί, καὶ τριχῶν ἐπαφαί τε καὶ ἐκτάσεις, καὶ ὅσα τούτοις ὁμοίως γίνεται, ἃ ὅτι μὲν γίνεται καὶ αὐτά, γνώριμον, οὐ μὴν ἔχει τὴν κατὰ τέλος, καὶ τινος χάριν αἰτίαν. Τὰ μὲν οὖν οὕτω γινόμενα ἀσκόπως τε καὶ ἁπλῶς γινόμενα, οὐδεμίαν εὔλογον ἔχει διαίρεσιν. Τῶν δὲ ἐπί τι τὴν ἀναφορὰν ἐχόντων, καί τινος γινομένων χάριν, τὰ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ λόγον γίνεται. Τά τε γὰρ φύσιν αἰτίαν ἔχοντα τῆς γενέσεως, κατά τινας ἀριθμοὺς, καὶ τάξιν ὡρισμένην, πρόεισιν εἴς τι τέλος, ἐν ᾧ γινόμενα. τοῦ γίνεσθαι παύεται, εἰ μή τι αὐτοῖς ἐμποδὼν γένοιτο, τῇ κατὰ φύσιν αὐτῶν ἐπὶ τὸ προκείμενον τέλος ὁδῷ· Ἀλλὰ καὶ τὰ κατὰ λόγον γενόμενα ἔχει τι τέλος, οὐδὲν γὰρ ὡς ἔτυχε τῶν κατὰ λόγον γινομένων γίνεται, ἀλλ' ἐπί τινα σκοπὸν ἡ ἀναφορὰ πᾶσιν αὐτοῖς· Εστι δὲ κατὰ λόγον γινόμενα, ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίνεται, λογιζομένων τε περὶ αὐτῶν, καὶ συντιθέντων, καθ' ὃν ἂν τρόπον γένοιντο. Οὕτω γίνεται τά τε κατὰ τὰς τέχνας γινόμενα πάντα, καὶ κατὰ προαίρεσιν, ἃ διαφέρει τῶν γινομένων φύσει, τῷ τὰ μὲν φύσει γινόμενα, ἐν αὑτοῖς ἔχειν τὴν ἀρχήν τε, καὶ αἰτίαν τῆς τοιαύτης γενέσεως (τοιοῦτον γὰρ ἡ φύσις) καὶ γίνεσθαι μὲν κατὰ τάξιν τινά. οὐ μὴν τῆς ποιούσης αὐτὰ φύσεως ὁμοίως ταῖς τέχναις λογισμῷ περὶ αὐτῶν χρωμένης. Τὰ δὲ γινόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν, ἔξωθεν ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, καὶ τὴν αἰτίαν τὴν ποιοῦσαν, ἀλλ' οὐκ ἐν αὐτοῖς. Καὶ τῆς γενέσεως αὐτῶν ὁ τοῦ ποιοῦντος ἡγεῖται περὶ αὐτῶν λογισμός. Ἐστὶν οὖν τοῖς ἕνεκα του γινομένοις, καὶ τὰ ἀπὸ τύχης τε καὶ τ' αὐτομάτου γίνεσθαι πεπιστευμένα, ταύτῃ τῶν προηγουμένως ἕνεκα του γινομένων διαφέροντα, ᾗ ἐπ' ἐκείνων μὲν πᾶν τὸ πρὸ τοῦ τέλοις γινόμενον τοῦ τέλοις χάριν γίνεται, ἐπὶ δὲ τούτων, τὰ μὲν γινόμενα πρὸ τοῦ τέλοις, ἄλλου χάριν γίνεται, ἀπαντᾷ δ' αὐτοῖς ἄλλου χάριν γινομένοις, ὡς τέλος, τὸ αὐτομάτως τε, καὶ ἀπὸ τύχης γίνεσθαι λεγόμενον.

§. V. Τούτων δ' οὕτως ἐχόντων, καὶ πάντων τῶν γινομένων εἰς τούτοις τοὺς τρόποις νενεμημένων, ἀκόλουθον ἐπὶ τούτοις ἰδεῖν, ἐν ποίῳ τῶν ποιητικῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην, ἆρά γε ἐν τοῖς οὐδενὸς γινομένοις χάριν, ἢ τοῦτο μὲν παντάπασιν ἄλογον, ἀεὶ γὰρ ἐπὶ τέλοις τινὸς, τῷ τῆς εἱμαρμένης ὀνόματι χρώμεθα, καθ' εἱμαρμένην αὐτὸ λέγοντες γεγονέναι. Διὸ ἐν τοῖς ἕνεκα του γινομένοις ἀναγκαῖον

& cauſam talis productionis (tale enim eſt natura) & quod fiant ſecundum ordinem quendam, cùm natura quæ illarum effectrix eſt, nullâ tali quali artes uti ſolent, deliberatione circa illa utatur. Quæ verò ſecundum artem & electionem fiunt, principium motus ſui extra ſe habeant, & cauſam effectricem, & non in ſeipſis, & productioni ipſorum præficiatur efficientis de ipſis deliberatio. Tertium itaque locum inter ea quæ fiunt alicujus rei gratiâ, ſortiuntur illa, quæ a caſu & ſuâ ſponte fieri creduntur, quæ eo quidem differunt ab iis, quæ principaliter alicujus rei gratiâ fiunt, quòd in illis quidem ea quæ ante finem ſunt, finis gratiâ fiant omnia, his vero, quæ fiunt ante adeptionem finis, alterius rei gratiâ fiant, iis verò quæ alterius rei gratiâ fiunt, tanquam finis occurrat id, quod caſu aut ſponte fieri dicitur.

§ V. His verò ſic ſe habentibus, omnibuſq; quæ fiunt ad hunc modum diſtributis, conſequens eſt, ut de his videamus, in qua efficientium cauſarum claſſe locari Fatum oporteat, an in illis quæ nullius rei gratiâ fiunt, an hoc rationi omnino diſſentaneum ſit: ſemper enim de fine aliquo Fati nomen uſurpamus, quoties aliquid Fato fieri dicimus. Ideoque inter ea quæ alicujus rei gratiâ fiunt, neceſſe eſt Fatum reponi. Et cum eorum, quæ finis alicujus gratiâ fiunt, quædam ſecundum rationem fiant, quædam ſecundum naturam, Neceſſum eſt ut vel in utriſque horum ponatur Fatum, ſic ut omnia quæ fiunt, fato fieri dicantur, vel in uno tantum horum: Verum enim verò ea quæ ſecundum rationem fiunt, ideo putantur fieri ſecundum rationem, quòd ille qui hæc facit, ea etiam non faciendi poteſtatem habeat: Quæ enim ab artificibus ſecundum artem fiunt, nulla ex neceſſitate ab iis facta videntur. Taliter igitur hi ea faciunt ſingula, ut qui ea non faciendi æqualem habent poteſtatem; ſed & abſurdum planè eſt, ſi quis domum aut lectum ex fato fieri aſſerat, aut lyram ex fato ad Muſicos modos concinnari: Actiones verò quarum Domina eſt prævia electio, hoc eſt, quæ cum virtute aut vitio fiunt, ea planè in noſtra poteſtate eſſe cenſentur, ſi verò in noſtra ſint poteſtate ea quorum nos Domini ſumus, ita ut aut fiant aut non fiant, Impoſſibile plane eſt ut Fatum eorum cauſam eſſe dicamus, aut principia aliqua cauſaſque ab extra prius illis injecta per quæ abſolutè vel fiat horum quippiam, vel non fiat Non enim ulteriùs in noſtra poteſtate foret horum quippiam, ſi ad hunc modum produceretur.

ἀναγκαῖον τιθέναι τὴν εἱμαρμένην. Καὶ ἐπεὶ τῶν ἕνεκά του γινομένων, τὰ μὲν γίνεται κατὰ λόγον, τὰ δὲ κατὰ φύσιν, ἢ ἐν ἀμφοτέροις αὐτοῖς τὴν εἱμαρμένην ἀναγκαῖον τίθεσθαι, ὡς πάντα τὰ γινόμενα καθ' εἱμαρμένην γίνεσθαι λέγειν, ἢ ἐν θατέρῳ. Αλλὰ τὰ μὲν κατὰ λόγον γιγνόμενα τούτῳ δοκεῖ γίνεσθαι κατὰ λόγον, τῷ τὸν ποιοῦντα αὐτὰ καὶ τοῦ μὴ ποιεῖν ἔχειν ἐξουσίαν, Τά τε γὰρ ὑπὸ τῶν τεχνιτῶν γιγνόμενα κατὰ τέχνην, οὐκ ἐξ ἀνάγκης ὑπ' αὐτῶν γίνεσθαι δοκεῖ, οὕτω γὰρ ἕκαστον ποιοῦσιν αὐτοὶ, ὡς καὶ τοῦ μὴ ποιεῖν αὐτὰ τὴν ἴσην ἔχοντες ἐξουσίαν. Ετι τε πῶς οὐκ ἄτοπον, τὴν οἰκίαν, καὶ τὴν κλίνην καθ' εἱμαρμένην λέγειν γεγονέναι, ἢ τὴν λύραν ἡρμόσθαι καθ' εἱμαρμένην; ἀλλὰ μὴν καὶ ὧν προαίρεσις κυρία, ταῦτα δ' ἐστιν, ὅσα κατ' ἀρετήν τε καί κακίαν πράττεται, καὶ ταῦτα ἐφ' ἡμῖν εἶναι δοκεῖ. Εἰ ἐφ' ἡμῖν δὲ ταῦτα, ὧν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι ἡμεῖς εἶναι δοκοῦμεν κύριοι, τούτων δ' οὐχ οἷόν τε λέγειν αἰτίαν τὴν εἱμαρμένην, οὐδὲ ἀρχὰς εἶναί τινας, καὶ αἰτίας ἔξωθεν προκαταβεβλημένας, τοῦ πάντως ἢ γενέσθαι τι αὐτῶν, ἢ μὴ γενέσθαι. Οὐκέτι γὰρ ἂν

εἴη τι τούτων ἐφ' ἡμῖν, εἰ γένοιτο τοῦτον τὸν τρόπον.

§. VI. Λείπεται δὴ λοιπὸν τὴν εἱμαρμένην ἐν τοῖς φύσει γινομένοις εἶναι λέγειν, ὡς εἶναι ταὐτὸν εἱμαρμένην τε καὶ φύσιν. τό τε γὰρ εἱμαρμένον κατὰ φύσιν, καὶ τὸ κατὰ φύσιν εἱμαρμένον, οὐ γὰρ κατὰ φύσιν μὲν ἐστιν ἄνθρωπον ἐξ ἀνθρώπου, καὶ ἵππον ἐξ ἵππου γίνεσθαι, οὐ καθ' εἱμαρμένην δὲ, ἀλλὰ συνοδεύει τὰ αἴτια ταῦτα ἀλλήλοις, ὡς ἂν ἔχοντα κατὰ τοὔνομα μόνον τὴν διαφοράν. Διὸ καὶ τὰ πρῶτα τῆς κατὰ φύσιν ἑκάστοις γενέσεως αἴτιά ἐστιν. Οἱ δ' αὐτὰ τὰ θεῖα, καὶ τὴν τούτων εὔτακτον περιφορὰν, καὶ τῆς εἱμαρμένης αἴτια λέγουσι. Πάσης γὰρ γενέσεως ἀρχὴ, ἡ τῶν θείων κατὰ κίνησιν ποιὰ σχέσις πρὸς τὰ τῇδε. Οὔσης δὲ τῆς εἱμαρμένης ἐν τούτοις, καὶ τοιαύτης, ἀναγκαῖον ὡς ἂν ἔχῃ τὰ γινόμενα κατὰ φύσιν, οὕτως ἔχειν καὶ τὰ καθ' εἱμαρμένην. Ἀλλὰ μὴν τὰ γινόμενα κατὰ φύσιν, οὐκ ἐξ ἀνάγκης γίνεται, ἀλλ' ἔστιν ἡ γένεσις τῶν οὕτω γινομένων ἐμποδιζομένη, διό ποτε μὲν ὡς ἐπὶ τὸ πλεῖστον γίνεται τὰ γινόμενα κατὰ φύσιν, οὐ μὴν ἐξ ἀνάγκης, χώραν γὰρ ἐν αὐτοῖς ἔχει καὶ τὸ παρὰ φύσιν, καὶ γίνεται ὑπό τινος αἰτίας ἔξωθεν, ἐμποδισθείσης τῆς φύσεως εἰς τὸ ἔργον τὸ ἑαυτῆς. Διὸ οὔτε ἐξ ἀνάγκης ἄνθρωπος ἀνθρώπου, ἀλλ'

§. VI. Supereſt igitur ut dicatur in iis quæ naturâ fiunt Fatum eſſe, adeoq; idem eſſe Fatum & Naturam, id nempe quod fatale eſt ſecundum naturam fieri, & id quod ſecundum naturam, fatale, nec naturale eſſe, ut homo ab homine, equus ab equo generetur, at non & idem fatale ſit, ſed ſimul invicem ſociari cauſas iſtas, ut quæ nominaliter tantummodo diſtinguantur. Quare & ea quæ prima ſunt, naturalis cujuſque generationis cauſæ ſunt. Quidam autem ipſa divina & divinorum bene ordinatam circumactionē dicunt Fati cauſas eſſe. Principium enim omnis generationis eſt certa quædam, circa ea quæ hic ſunt, Divinarum naturarum habitudo reſpectu motûs: Cùm vero in his ſit Fatum, & tali modo ſe habeat, neceſſum eſt, quo modo ſe habent ea quæ natura fiunt, eodem etiam ſe habere quæ fato fiunt. Ex una autem parte manifeſtum eſt, ea ſcilicet quæ natura fiunt, non fieri ex neceſſitate, cùm eorum quæ ſic producuntur generatio nonnunquam impediatur, ideoque hæc quæ naturâ fiunt, in eorum prorſus numero quæ plerumque quidem eveniunt, non autem neceſſariò, ponenda ſunt; locum enim in illis habet etiam id quod præter naturam eſt, quod nempe accidit, quoties ab extrinſeca aliqua cauſa natura impediatur, ſic ut opus ſuum *nequeat ad exitum deducere.* Quo fit ut non neceſſariò homo ab homine fiat, ſed ut plerumque ſic fiat. Unde & illud ſequitur, quod eorum quæ natura ſunt, ſecundum legem aliquam præviam, quæ de iis determinatè ferri videtur, unumquodque ſemper & conſtanter fiat. Cùm vero inter ea quæ naturâ fiunt, alia etiam præter naturam fiant, & non omnia ſecundum naturam (eodem modo quo in Artis operibus fieri videmus) ſequitur ut & inter ea quæ Fato fiunt locum etiam habeant ea quæ præter Fatum fiunt. Adeò ut, ſi locum habeat id quod præter naturam eſt, nec ſit illud inane prorſus nomen, inter ea etiam quæ fato fiunt, illi, quod eſt præter Fatum, locus concedendus ſit. Nec igitur a ratione alienum eſt ſi dicamus, propriam cujuſq; rei naturam, ejus principium eſſe, cauſamq; diſpoſitionis omnium, quæ ab ea ſecundum naturam fiunt. Ab hac enim ut plurimum, & vitæ & exitus hominum ordinem ſuum accipiunt. Videmus igitur corpus ex eo quod tale aut tale temperamentum a natura habeat, in morbos etiam & corruptiones incidere, ex conſequentia naturalis conſtitutionis, non tamen illud neceſſariò; ſufficiunt enim talem diſpoſitionem excutere & cura victûs, & mutatio aeris, & medicorum præcepta, & conſilia Deorum. Eodem verò modò & in animo, præter naturalem conſtitutionem, varias unicuiq; & electiones & actiones, & vitæ genera contingere reperies.

Mores

ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον. Ὅθεν καὶ κατὰ τὴν ὡρίσθαι δοκοῦσαν προθεσμίαν τοῖς γινομένοις· κατὰ φύσιν, ἕκαστον τῶν οὕτω γινομένων ἀεὶ γίνεται. Ὄντος δὲ ἐν τοῖς γινομένοις κατὰ φύσιν καὶ τοῦ παρὰ φύσιν, ὥσπερ καὶ ἐν τοῖς κατὰ τέχνην, χώραν ἂν ἔχοι καὶ ἐν τοῖς κατὰ τὴν εἱμαρμένην γινομένοις, τὸ παρὰ τὴν εἱμαρμένην. Ὥστε εἰ χώραν ἔχει τὸ παρὰ φύσιν καὶ μὴ κενὸν ἐστιν ὄνομα, ἔχοι ἂν ἐν τοῖς γινομένοις χώραν, καὶ τὸ παρὰ τὴν εἱμαρμένην. Διὸ καὶ λέγοι τις ἂν εὐλόγως τὴν οἰκείαν φύσιν, ἀρχὴν ἑκάστου καὶ αἰτίαν εἶναι τῆς τῶν γινομένων ἐν αὐτῷ κατὰ φύσιν τάξεως. Ἀπὸ ταύτης γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον, οἵτε βίοι τῶν ἀνθρώπων τὴν τάξιν, καὶ αἱ καταστροφαὶ λαμβάνουσιν. Ὁρῶμεν γοῦν· ὅτι καὶ τὸ σῶμα, τῷ τοιὸν ἢ τοιὸν εἶναι τὴν φύσιν, καὶ ἐν νόσοις καὶ φθοραῖς, ἀκολούθως τῇ φυσικῇ συστάσει, γίνεται, οὐ μὴν ἐξ ἀνάγκης, ἱκαναὶ γὰρ ἐκκροῦσαι τὴν τοιὰν δὲ τάξιν ἐπιμέλειαί τε καὶ ἀέρων ὑπαλλαγαὶ, καὶ προστάξεις ἰατρῶν, καὶ συμβουλίαι θεῶν. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν, παρὰ τὴν φυσικὴν κατασκευὴν, διαφόρως γινομένας ἑκάστῳ τάς τε προαιρέσεις, καὶ τὰς πράξεις, καὶ τοὺς βίους.

ἦθος γὰρ ἀνθρώπῳ δαίμων, κατὰ τὸν Ἡράκλειτον, τουτέστι φύσις. Ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσι, τάς τε πράξεις, καὶ τοὺς βίους, καὶ τὰς καταστροφὰς αὐτῶν, ἀκολούθους ἰδεῖν ἐστί. Τῷ μὲν γὰρ φιλοκινδύνῳ, καὶ θρασεῖ φύσει, βίαιός τις καὶ ὁ θάνατος ὡς ἐπὶ τὸ πλεῖστον, αὕτη γὰρ ἡ τῆς φύσεως εἱμαρμένη. Τῷ δὲ ἀκολάστῳ τὴν φύσιν, τότε ἐν ἡδοναῖς τοιαύταις καταζῆν, καὶ ὁ τῶν ἀκρατῶν βίος, ἀλλ' εἴ τι κάλλιον ἐν αὐτῷ γινόμενον ἐκστῇ τῆς κατὰ φύσιν, αἱ τῶν πόνων ὑπομοναὶ, καὶ αἱ κακοπάθειαι καὶ ἐν τοῖς τοιούτοις τοῦ βίου καταστροφαὶ, πάλιν εἰσὶ καθ' εἱμαρμένην. Καὶ τοῖς ἀνελευθέροις δὲ τὴν φύσιν, καὶ ἀπλήστοις περὶ κτῆσιν χρημάτων, καὶ τὰ τῆς εἱμαρμένης σύνῳδα. Ἐν ἀδικίαις γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον, ὁ τῶν τοιούτων βίος, καὶ ἡ τοῦ βίου δὲ καταστροφὴ, τοῖς κατ' αὐτὰ πράττουσιν ἀκόλουθος. Διὸ καὶ ἐπιλέγειν εἰώθασι τοῖς τοιούτοις, ὅταν ἐν τοῖς ἀκολούθοις τε τοῦ βίου καὶ καθ' εἱμαρμένην περιστάσεσιν ὦσιν, ὡς ἑαυτοῖς γεγονόσιν αἰτίοις τῶν παρόντων αὐτοῖς κακῶν. Καὶ τοῦτ' ἄν τις παρίστασθαι βουλόμενος τοῖς τὰς μαντείας ἐπαγγελλομένοις, τοῦ μὴ πάντως αὐτοὺς ἐπιτυγχάνειν, φέρει τὸ αἴτιον, μὴ πάντα τὴν φύσιν ἑκάστου καὶ τὴν εἱμαρμένην εὐοδεῖν, ἀλλὰ γίνεσθαί τινα καὶ παρ' αὐτήν,

Mores enim homini cuiq; ſunt dæmon aut Genius, ſecundum Heraclitum, id eſt, natura. Ut plurimum enim naturalibus conſtitutionibus & diſpoſitionibus & actiones, & vitarum genera, & exitus eorum, conſentaneas videre eſt: Ei enim qui periculorum amans, & audax eſt, mors ut plurimùm violenta obtingit. Hæc enim eſt naturæ lex Fatalis. Ei autem qui naturâ intemperans eſt,ut in ejuſmodi voluptatibus totum tempus conſumat, & vitam intemperantium degat;ſi vero excellentius quippiam ei obveniens ab ea quæ illi naturalis eſt habitudine dimoveat, etiam ut labores conſtanter ferat, & quaſcunq; afflictiones, & in his deniq; vitam concludat, Fatale rurſus eſt. Sic et illiberalibus ingeniis, & circa pecuniarum poſſeſſionem nunquam ſatiatis, quædam ex Fati lege conſentanea ſunt: In faciendis enim injuriis, ut plurimùm talium vita tranſigitur, & vitæ exitus iis obvevenit, qualis talia facientibus conſentaneus eſt. Ideoq; talibus dici ſolet, cùm in ea inciderint mala, quæ vitam taliter peractam rite,& ſecundum fatales leges ſequuntur, ipſos ſibi malorum, quibus premuntur, cauſas eſſe. Et hanc ſibi reddi rationem experietur, quiſquis ad eos qui prædictiones pollicentur, accedens interroget,cur non ſemper ſcopum attingant, videlicet, non omnia ſecundum cujuſq; naturam & Fatum procedere, ſed quædam præter illam fieri, eſſe autem vates eorum quæ ſecundum Fatum fiunt interpretes, & ut de iis qui ex corporis aſpectu judicant, dicendum eſt. Cùm igitur Zopyrus iſtius artis Magiſter de Socrate philoſopho fœda quædam, eaque quæ ab ejus vitæ inſtituto plurimum abhorrerent, pronunciaret, ideoq; a diſcipulis Socratis riſu exciperetur, reſpondit Socrates Zophyrum nihil mentitum eſſe. Talem enim ſe ex natura fuiſſe, ſi non per philoſophiæ ſtudium naturam in melius mutaſſet. Et hæc quidem de Fato ſententia eſt, ut ſummatim eam complectar, ſecundum Peripateticos.

§. VII. Manifeſtior autem futura eſt eorum quæ dicta ſunt confirmatio, ſi prælibatis eorū quæ proponimus probationibus, abſurdas quaſdam conſequentias ſubjungamus, quibus illi, qui omnia Fato fieri aiunt, implicantur. Sermone enim ſic permixto. & ſententiis diverſis juxta poſitis, clarius eluceſcet veritas. Nec erit ad hoc nobis neceſſarium, ut eadem ſæpius repetamus. Meritò enim miretur aliquis, quo pacto quidam philoſophari dicantur, & veritatem in rebus latentem inveſtigare, & ex hac Philoſophos prærogativa aliis omnibus præcellere exiſtimantes, & eo nomine alios ad ejus ſtudium hortantes, ſe

εἶναι δὲ τοὺς μάντεις τῶν γινομένων καθ' εἱμαρμένην, ὥσπερ οὖν καὶ τοὺς φυσιογνώμονας. Εἰπόντος γοῦν Ζωπύρου τοῦ φυσιογνώμονος περὶ Σωκράτους τοῦ φιλοσόφου ἄτοπά τινα καὶ πλεῖστον ἀφεστῶτα τῆς προαιρέσεως αὐτοῦ τῆς κατὰ τὸν βίον, καὶ ἐπὶ τούτοις ὑπὸ τῶν περὶ τὸν Σωκράτην καταγελωμένου, οὐδὲν εἶπεν ὁ Σωκράτης ἐψεῦσθαι τὸν Ζώπυρον, ἦν γὰρ ἂν τοιοῦτος, ὅσον ἐπὶ τῇ φύσει, εἰ μὴ διὰ τὴν ἐκ φιλοσοφίας ἄσκησιν, ἀμείνων τῆς φύσεως ἐγίνετο. Καὶ αὕτη μὲν ἡ περὶ εἱμαρμένης, ὡς ἐπὶ κεφαλαίων εἰπεῖν, κατὰ τοὺς ἀπὸ τοῦ περιπάτου δόξα.

§. VII.

Ἡ δὲ κατασκευὴ τῶν εἰρημένων ἔσται φανερωτέρα, παρατιθέντων ἡμῶν ταῖς προηγουμέναις τῶν κειμένων ἀποδείξεσι, τὰ ἑπόμενα ἄτοπα τοῖς πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσιν. Μιγνῦντες γὰρ οὕτω τὸν λόγον, τῇ τε τῶν δοξῶν παραλλήλῳ θέσει, γνωριμώτερον τἀληθὲς ποιήσομεν. Καὶ πρὸς τούτῳ οὐχ ἕξομεν ἀνάγκην μεμνῆσθαι τῶν αὐτῶν πολλάκις. Εὐλόγως γὰρ ἄν τις ἀπορήσειε, πῶς φιλοσοφεῖν τινες λέγονται, καὶ τὴν ἀλήθειαν τὴν ἐν τοῖς οὖσι μετέρχεσθαι, καὶ ταύτην τῶν ἄλλων ἀνθρώπων πλέον ἔχειν τοὺς φιλοσοφοῦντας ὑπολαμβάνοντες, καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλοις ἐπὶ τοῦτο προτρέποντες,

ἐπειδὰν

ἐπέδοσαν αὐτοὺς τῇ δόξῃ, τῇ πάντα ἐξ ἀνάγκης τε καὶ καθ' εἱμαρμένην γίγνεσθαι λεγούσῃ, ἐφ' ἣν μόνοις ὁρῶμεν καταφεύγοντας τῶν ἰδιωτῶν, τοὺς οὐδὲν αὑτοῖς συνειδότας δεξιὸν, ἐπὶ τὴν εἱμαρμένην ἀφ' αὑτῶν τὴν αἰτίαν τῶν περιεστώτων αὐτοὺς κακῶν μεταφέροντας· δόξῃ οὔτε τοῖς ἐναργέσι συνᾳδούσῃ, οὔτε τινὰς πιστὰς ἀποδείξεις τοῦ οὕτως ἔχειν ἐχούσῃ, προσέτι τε ἀναιρούσῃ τὸ εἶναί τι ἐφ' ἡμῖν. Οὗ πεισθέντος, τίς ἂν ἄλλη μείζων ἐκ λόγων γίνοιτο ζημία; Ὅτι μὲν γὰρ παρὰ τὰ ἐναργῆ, δῆλον ἐκ τοῦ πεπιστεῦσθαι μὲν σχεδὸν ὑπὸ πάντων ἰδιωτῶν τε καὶ φιλοσόφων, τὸ γίνεσθαί τινα καὶ αὐτομάτως, καὶ ἀπὸ τύχης, εἶναι δέ τινα τῶν γινομένων καὶ ἐνδεχομένως γινόμενα, καὶ ἔχειν τινὰ χώραν ἐν τοῖς οὖσι, καὶ τὸ μηδὲν μᾶλλον τόδε ἢ τόδε. Τούτων δὲ μηδὲν σώζεσθαι, κατὰ τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας, εἴγε σώζει μὲν αὐτὰ ἐστὶ, τὸ ἐφ' οἷς σημαινομένοις τὰ ὀνόματα ταῦτα κεῖσθαι πεπίστευται, ταῦτα μὴ κινεῖν. Οὐ γὰρ τὸ ἄλλα τινα ὑποβάλλοντα σημαινόμενα τοῖς ὀνόμασι, διὰ τοῦ μένειν ἐκεῖνα, μένειν ἡγεῖσθαι καὶ τὰ προειρημένα, σωζόντων ἐστὶ τὰ κείμενα. Οὐ γὰρ σώζεται τὸ γίνεσθαί τινα ἀπὸ τύχης, ἂν ἀνελών τις τὴν τῶν οὕτω γινομένων φύσιν, ὄνομα θῆται

ſe tamen eorum ſententiæ addixerint, qui omnia ex neceſſitate, & ſecundum Fatum fieri aſſerunt, ad quam eos ſolùm inter illiteratos confugere videmus, qui nullius honeſtæ rei ſibi conſcii ſunt, calamitatúmque omnium quibus premuntur cauſas à ſeipſis ad Fatum transferunt. Quæ quidem ſententia neque cum iis quæ evidentia ſunt conciliari poteſt, neque fide dignas probationes habet, cur ſic ſe res habeat, & præterea nihil in poteſtate noſtra relinquit; quo admiſſo quódnam magis incommodum ex quibuſvis affirmationibus inferri poterit? Quod enim cum iis quæ evidentia ſunt pugnet, ex hinc manifeſtum eſt quod omnes ferè & indocti & philoſophi perſuaſum habeant, quædam ſponte & caſu fieri, quædam etiam eorum quæ fiunt, contingenter fieri, eáque inter entia locum ſortiri, & nihilo magis hoc quàm illud. Quorum nihil defendi poſſibile eſt ex doctrina eorum qui omnia ex neceſſitate fieri aſſerunt, modò per [defendere] non intelligatur, movere & mutare ea, ad quæ ſignificanda vocabula imponi creditum eſt. Neque enim novas ſignificationes nominibus ſufficere, & nominibus iiſdem manentibus, ſignificata etiam eadem manere putare, eorum eſt qui ſalva tuentur ea quæ proponunt. Non enim ſalvum manet, fieri caſu aliqua, ſi quis fortuitorum naturam ex rebus tollens, iis quæ ex neceſſitate fiunt,

Fortunæ

Fortunæ nomen imponat, ſed ſi demonſtrare potuerit, ea ſalva manere,de quibus caſus vocabulum prædicari creditum eſt.

§ VIII. Quod vero inter omnes homines, communibus & naturalibus notionibus adhærentes affirmatur, hæc caſu & ſponte fieri, quæ obveniunt iis cauſis quæ aliarum quarundam rerum principaliter effectrices ſunt. Cùm enim illi quod alterius rei gratiâ ſuſcipitur, non obveniat illud, cujus gratiâ ſuſceptum eſt, ſed aliud quippiam, quod prorſus non ſperabatur, hoc planè fortuitò factum eſſe dicitur, ut quod per ſe quidem ſine cauſa evenerit, per accidens verò cauſam habuerit id, quod ad aliud aliquod producendum fiebat. Et quòd tale quicquam caſu fieri omnes dicant ex iis manifeſtum eſt, quæ ut exempla ponuntur eorum quæ caſu fiunt. Theſaurum enim aiunt caſu inveniſſe aliquem, ſi alterius rei gratiâ fodiens, & non ut theſaurum inveniat, in theſaurum incidat: Qui enim ejus inveniendi gratiâ fodit, non illum caſu invenit; cujus enim rei gratiâ fodit, illud ei obvenit. Cui vero ne cogitanti quidem de inventione theſauri, facienti verò quod facit, alterius rei gratiâ, obvenit theſauri inventio, quaſi finis ipſi propoſitus (cùm revera non fuerit) hunc caſu theſaurum inveniſſe omnes conſentiunt. Sic & pecuniam eum caſu reportaſſe dicunt, cùm alterius rei

gratiâ

τοῖς γινομένοις ἐξ ἀνάγκης τὴν τύχην, ἀλλ᾽ ἂν αὐτὰ δεῖξαι δυνηθῇ σώζειν, ἐφ᾽ ὧν τὸ τῆς τύχης ὄνομα κατηγορεῖσθαι πεπίστευται.

§. VIII. Λέγεται δὴ πρὸς ἁπάντων ἀνθρώπων, κοιναῖς τε καὶ φυσικαῖς ἐννοίαις ἐμμενόντων, ταῦτα ἀπὸ τύχης τε καὶ τοῦ αὐτομάτου γίνεσθαι, ἃ αἰτίαις ἄλλων τινῶν ποιητικαῖς προηγουμέναις ἐπιγίνεται. Ὅταν γὰρ ἄλλου τινὸς χάριν γινομένῳ τινὶ μὴ τοῦτο ἀπαντήσῃ, οὗ χάριν ἐγίνετο, ἄλλο δέ, ὃ τὴν ἀρχὴν μηδὲ ἠλπίζετο. τοῦτο ἀπὸ τύχης λέγεται γεγονέναι, καθ᾽ αὑτὸ μὲν γεγονὸς ἀναιτίως, κατὰ συμβεβηκὸς δ᾽ ἐσχηκὸς αἴτιον τὸ γενόμενον ἐπ᾽ ἄλλου γενέσει τινός. Καὶ ὅτι τοιοῦτόν τι λέγουσι πάντες, τὸ γενόμενον ἀπὸ τύχης, δῆλον ἐξ ὧν ὑποβάλλουσι σημαινομένων, οἷς ἀπὸ τύχης φασὶ γίνεσθαι. θησαυρόν τε γὰρ φασιν ἀπὸ τύχης εὑρηκέναι τινά, ἂν ἄλλου χάριν ὀρύσσων τις, ἀλλ᾽ οὐ τοῦ θησαυρὸν εὑρεῖν, θησαυρῷ περιπέσῃ. Ὁ μὲν γὰρ τούτου χάριν ὀρύσσων, οὐκ ἀπὸ τύχης. οὗ γὰρ χάριν ὤρυσσε, τοῦτο ἀπήντησεν αὐτῷ· ᾧ δὲ μηδὲν τῆς εὑρέσεως τοῦ θησαυροῦ ἔμελλε, ποιοῦντι δὲ ἄλλου τινὸς χάριν, ἡ εὕρεσις ἀπήντησεν, ὡς τέλος ἐκείνου, τοῦτον ἀπὸ τύχης τὸν θησαυρὸν εὑρηκέναι πάντες λέγουσιν. Ἀλλὰ καὶ τὸ ἀργύριον ἀπὸ τύχης κεκομίσθαι τινὰ λέγουσιν, ὅταν εἰς τὴν ἀγορὰν προελθὼν ἄλλου τινὸς χάριν, ἀργύριον ἔχοντι περιπεσὼν τῷ χρεώστῃ, τὸ ὀφειλόμενον αὐτῷ λάβῃ· τῷ γὰρ προελθεῖν εἰς τὴν ἀγορὰν ἄλλο τι προηγούμενον τέλος ἔχοντι, τὸ τὸ προσοφειλόμενον λαβεῖν ἀπήντησεν, ὡς τέλος κατὰ συμβεβηκὸς αὐτῷ γινόμενον, τὸ μὲν ποιητικὸν αἴτιον, τὸ δὲ τούτου τέλος· οὐ γὰρ ἀπὸ τύχης ἔτι λέγεταί τις τὸ ὀφειλόμενον εἰληφέναι, εἰ τούτου χάριν εἰς τὴν ἀγορὰν προῆλθεν, ὅτι τὸ προκείμενον αὐτῷ τέλος ἡ πρόοδος ἔσχεν. Καὶ ὁ ἵππος δὲ αὐτομάτως τισὶ λέγεται σεσῶσθαι, ὅταν τροφῆς μὲν ἐλπίδι, ἢ ἄλλου τινὸς χάριν, ἀποφύγῃ τοὺς κατέχοντας αὐτόν, ἀπαντήσῃ δὲ αὐτοῦ τῇ φυγῇ καὶ τῷ δρόμῳ, τὸ τοῖς δεσπόταις περιπεσεῖν. Καί τι δεῖ ὑμῖν πλείω παραδείγματα κατατίθεσθαι ἢ ἀκριβολογεῖσθαι περὶ τῶν προειρημένων, ἱκανὸν γὰρ ὡς πρὸς τὰ προκείμενα τὸ δεῖξαι ἐφ' ὧν σημαινομένων τὰ ὀνόματα κατηγορεῖται τὰ εἰρημένα. Ὄντων δὴ τῶν ἀπὸ τύχης τε καὶ αὐτομάτως γινομένων τοιούτων, ὡς μὴ γίνεσθαι κατὰ προηγουμένην αἰτίαν (τὸ γὰρ σπανίως ἐπὶ τοῖς πρὸ αὐτῶν γεγονόσι ἀπαντῶν, τότε αὐτόματον, καὶ ἡ τύχη) πῶς ἂν σώζοιτό τι τῶν προειρημένων, καθ' οὓς πάντα προηγησαμένοις τισὶν αἰτίοις, καὶ προηγουμένοις ἐξ ἀνάγκης, ἔστι τε τὰ ὄντα, καὶ τὰ γινόμενα γίνεται, ἑκάστου

τῶν

gratiâ in forum profectus in debitorem pecuniam ſecum habentem inciderit, & ab eo debitum acceperit. Ei enim qui alium principalem finem ad forum proficiſcendi habuerit, obtigit ut debitum acciperet. Erátque hoc ut finis, per accidens ei obveniens, profectio quidem in forum efficiens cauſa, occurſus autem debitoris finis. Neque enim jam caſu debitum accepiſſe dicetur, ſi ejus accipiendi cauſâ in forum proceſſerit, quia finem ſibi propoſitum proceſſio iſta conſecuta eſt; Sed & equus ſponte ſervatus a quibuſdam dicitur, cùm pabuli ſpe aut alterius cujuſvis rei gratiâ eos qni eum detinuerint effugiat, accidítque ut in fuga & curſu in Dominorum ſuorum manus incidat. Quid verò opus eſt plura exempla adferre, aut de prædictis accuratius diſſerere, ſatis enim eſt, quantum ad inſtitutum noſtrum ſpectat, monſtraſſe de quibus ſignificatis prædicta vocabula uſurpentur. Cùm igitur ſic ſe habeant ea quæ caſu & ſponte fiunt, quòd ſcilicet ex antecedenti cauſa principali non fiant (nam & ſpontaneum & caſus rectè dicetur id, quod iis quæ antecedunt rarò ſupervenit) quomodo quicquam prædictorum ſalvum erit ex ſententia eorum, quibus omnia & quæ ſunt & quæ fiunt, putantur eſſe & fieri ex cauſis quibuſdam antecedentibus & principalibus, iiſque cuncta ex neceſſitate agentibus, ſic ut ſingula quæ fiunt cauſam aliquam præcedaneam habeant, quâ poſitâ vel factâ neceſſarium etiam eſt ea aut eſſe aut fieri, cùm nihil quidem ſalvum tueantur eorum quæ dicta ſunt; ſed tanquam pro imperio ſanciant Fortunæ nomen alteri cuidam rei accomodari? ex eo enim quòd Fortunæ nomen non tollatur ab eo qui omnia ex neceſſitate fieri aſſerit, & ipſam quoque Fortunam non ſublatam concludere eorum eſt,qui & ſeipſos & auditores ſuos deludunt; ſic enim nihil obſtabit, quia idem dicatur eſſe Fatum & Fortuna, tantúmque aberit utFortuna è rerum natura tollatur, ut etiam omnia quæ fiunt, a fortuna fieri concludatur. Sed enim nec in eo, quod Fortunam nomine tenus tueantur, eam ut cauſam agnoſcunt, dum interim negent aliqua ſic fieri, ut de iis verè dicatur, quòd Fortunâ aut ſponte fiant. Quid enim aliud faciunt ii,qui Fortunam aut ſpontaneum definiunt, cauſam humanæ ratiocinationi incognitam, quàm privatam aliquam Fortunæ ſignificationem introducentes eam pro imperio imponunt? Nam ſi ut hoc ſtabiliant dixerint homines ſponte ægrotare, quotieſcunque morbi cauſa ipſis incognita fuerit, hoc planè mendacium eſt. Non enim, cùm ſit aliqua cauſa, ſed ea ipſis ignota, homines ſic dicere ſolent,ſed de quibus perſuaſum habent ea ſine cauſa factaeſſe, de his affirmant,quòd ſponte

τῶν γινομένων αἴτιόν τι προκαταβεβλημένον ἔχοντος, οὗ ὄντος ἢ γεγονότος, ἀνάγκη καὶ αὐτὸ ἢ εἶναι ἢ γίνεσθαι, τοὺς μηδὲν μὲν σώζοντας τῶν προειρημένων, κατ' ἄλλου δέ τινος τὸ τῆς τύχης νομοθετήσαντας ὄνομα; τῷ γὰρ μὴ ἀναιρεῖσθαι ἐκεῖνα ὑπὸ τοῦ πάντα ἐξ ἀνάγκης γίνεσθαι τιθεμένου, μηδὲ τὴν τύχην καὶ ἀναιρεῖσθαι λέγειν, σοφιζομένων ἐστὶν, ὁμοίως αὐτούς τε καὶ τοὺς ἀκούοντας αὐτῶν. Οὕτω μὲν γὰρ οὐδὲν κωλύσει λέγειν ταυτὸν εἱμαρμένην τε εἶναι καὶ τύχην, τοσοῦτον ἀποδεῖν τοῦ τὴν τύχην ἀναιρεῖν, ὡς καὶ πάντα τὰ γινόμενα γίνεσθαι λέγειν ἀπὸ τύχης. Ἀλλ' οὐκ ἐπὶ τῷ τοὔνομα σώζειν τὸ τῆς τύχης εἶχον τὴν αἰτίαν, ἀλλ' ἐπὶ τῷ ἀναιρεῖν, τὸ οὕτω γίνεσθαί τινα, ὧν τὸ ἀπὸ τύχης τε καὶ αὐτόματον γίνεσθαι κατηγορεῖται. Τί γὰρ ἄλλο ποιοῦσιν, οἱ τὴν τύχην καὶ τὸ αὐτόματον ὁριζόμενοι, αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ, ἢ τύχης τί σημαινόμενον ἴδιον εἰσάγουσί τε καὶ νομοθετοῦσι; τὸ γὰρ εἰς τὴν τούτου σύστασιν χρήσασθαι τῷ λέγειν τινὰς αὐτομάτως νοσεῖν, ὅταν ἄδηλος ᾖ αὐτοῖς ἡ αἰτία τῆς νόσου, ψεῦδος. Οὐ γὰρ ὡς οὔσης μέν τινος αἰτίας, ἀδήλου δὲ αὐτοῖς, οὕτω λέγουσιν, ἀλλ' ἐφ' ὧν ἐναντίως γεγονέναι πείθουσιν αὐτούς, ἐπὶ τούτων τὸ αὐτόματον κατηγοροῦσιν

Ὀν

Οὐ δεῖ γὰρ ἐφ' οὗ ζητοῦσι τὴν αἰτίαν, ὡς οὔσης, αὐτομάτως αὐτὸ γεγονέναι λέγειν, ἀλλ' οὐδ' ὃ πέπεισαί τις αὐτομάτως γεγονέναι, τούτου ζητεῖν τὴν αἰτίαν. Διὸ οὐκέτι οἱ ἰατροὶ περὶ τούτων οὕτω λέγουσιν, κἂν τυγχάνωσιν αὐτῶν ἔτι τὰς αἰτίας ἀγνοοῦντες. Οὐ γὰρ ἐφ' ὧν προειρήκαμεν, ὡς ἐπὶ πάντων ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἀλλ' ἐπ' ἄλλων τινῶν κυριώτερος ὁ τοιοῦτος λόγος τῆς τύχης ἂν κατηγοροῖτο, περὶ ὧν οὐδεὶς ὡς ἀπὸ τύχης γινομένων εἴποι ποτε. Τῆς μὲν γὰρ εὑρέσεως τοῦ θησαυροῦ, καὶ τοῦ τὸ ὀφειλόμενον λαβεῖν, οὐκ ἄδηλα ἀνθρωπίνῳ λογισμῷ τὰ αἴτια, ἀλλὰ φανερὰ καὶ πρόδηλα. Τῆς μὲν γὰρ εὑρέσεως, τὸ ὀρύξαι, τοῦ δὲ τὸ ὀφειλόμενον λαβεῖν, τὸ εἰς τὴν ἀγορὰν προελθεῖν, οὔτε γὰρ ἂν ἐκεῖνος μὴ ὀρύσσων εὗρεν, οὔτε οὗτος μὴ προελθὼν τὸ ὀφειλόμενον ἔλαβεν. Ἀλλ' ὅτι μὴ προηγούμενα τούτων αἴτια προειρημένα, ἀλλὰ ἄλλου τινὸς χάριν ἐγίνετο, διὰ τοῦτο ἀπὸ τύχης γίνεσθαι προείληπται. Ἄδηλα δὲ τὰ αἴτια ἀνθρωπίνῳ λογισμῷ ἐκείνων μᾶλλον, ἃ κατά τινας ἀντιπαθείας γίνεσθαι πεπίστευται, ἀγνοουμένης τῆς αἰτίας δι' ἣν γίνεται. Οἷα περίαπτά τέ τινα προσείληπτα, οὐδεμίαν δὲ λόγον καὶ πιθανὴν αἰτίαν τοῦ ταῦτα ποιεῖν ἔχοντα. Ἔτι δὲ ἐπαοιδαὶ, καί τινες τοιαῦται μαγγανείαι,

ſponte fiant. Nec enim oportet de eo, cujus quæ ſit cauſa quærunt (ſupponentes eſſe cauſam) pronunciare, ſponte illud fieri, ſed neque quod quiſpiam ſibi perſuaſit ſponte fieri, ejus cauſam inveſtigare. Quare nec medici de his ſic loquuntur, licet etiam cauſarum morborum ignari ſunt. Non enim ad prædicta illa, quæ ab omnibus dicuntur caſu fieri, pertinet iſta hujus vocabuli explicatio, ſed de iis multò magis propriè prædicatur, quæ nemo unquam mortalium a Fortuna fieri dixerit. Nam inventionis theſauri aut nummorum receptionis cauſæ non ſunt intellectui humano incognitæ, ſed manifeſtæ & claræ. Inventionis enim cauſa eſt, quòd quiſpiam foderit, receptionis vero debiti, quòd in forum proceſſerit. Neque enim ille, ſi non fodiſſet, invenerat, neque ille, ſi non proceſſiſſet, debitum acceperat, ſed quandoquidem prædictæ hæ non erant principales horum cauſæ, ſed ad alium aliquem finem dirigebantur, ideo a caſu hæc fieri credita ſunt Cùm illorum potius humano intellectui occultæ cauſæ dicantur, quæ per antipathias quaſdam ſeu naturales diffidentias fieri credita ſunt, cauſâ prorſus ignotâ, propter quam fiunt. Cujuſmodi credita ſunt amuleta quædam, quæ nullam rationabilem aut probabilem cauſam habent, cur tales effectus producant. Sic & incantationes, & aliquæ hujuſmodi magicæ operationes.

Harum enim cauſam occultam eſſe omnes agnoſcunt, ideoque eas ponunt in eorum claſſe, quorum cauſæ explicari nequeunt. Nemo autem horum aliquod forte fortunâ agere affirmat, cùm ea quæ faciunt ſingula, ſecundum aliquam determinatam cauſam facere agnoſcantur. Unde apparet fortuita ſic dici, non ex eo quòd cauſæ ſint occultæ, ſed quòd nulli principali & propriè dictæ cauſæ imputari poſſint.

§. IX. Et talia quidem ſunt quæ de fortuitis ab iis dicuutur, cum iis, quæ propoſita ſunt, ſatis convenientia. Quod vero contingentia quarundam rerum & in utramvis partem cadendi poſſibilitas ab iis, qui omnia ex neceſſitate fieri aiunt, tollatur, ex his manifeſtum eſt, quòd ea ſolum propriè contingere dicantur, in quibus etiam locum habet contingere ut non fiant, ut patet etiam ex uſu vocum harum: utrocunque res ceciderit. Quæ verò ſunt ex neceſſitate, ea non contingit non fieri. Per neceſſarium autem non intelligo id quod vi fit (neque de eo quiſpiam vocem uſurpet) ſed ea quæ ab aliquibus naturâ fiunt, quorum contraria impoſſibile eſt fieri. Et quomodo non abſurdum erit, & iis quæ manifeſta ſunt planè contrarium, neceſſitatem eouſque extenſam affirmare, ut nihil qualibet motione moveri poſſit, nemo quam libet ſui partem movere, quam motionem

quandoque

τούτων γὰρ ὁμολογεῖται μὲν ὑπὸ πάντων ἄδηλος εἶναι ἡ αἰτία, διὸ καὶ ἀναιτιολόγητα λέγουσιν αὐτά, οὐδεὶς δὲ ἀπὸ τύχης τούτων τι ποιεῖν λέγει, ὅτι πεπίστευται κατά τινα ὡρισμένην αἰτίαν, ἃ ποιεῖ, ποιεῖν· ὡς τῶν ἀπὸ τύχης, οὐ διὰ τὸ τῆς αἰτίας ἄδηλον, οὕτω γίνεσθαι λεγομένων, ἀλλὰ διὰ τὸ ἀναίτιον, τῆς προηγουμένης τε καὶ κυρίως αἰτίας.

§. IX. Καὶ τοιαῦτα μὲν τὰ ἐπὶ τῆς τύχης, ὑπ' αὐτῶν λεγόμενα, καὶ οὕτω τοῖς κειμένοις συμφῶνα. Ὅτι δὲ καὶ τὸ ἐνδεχόμενόν τε, καὶ τὸ ὁπότερ' ἔτυχε γίνεσθαί τινα, ὑπὸ τῶν πάντα ἐξ ἀνάγκης γίνεσθαι λεγόντων, ἀναιρεῖται, αὐτόθεν πρόδηλον, εἴγε ταῦτα μὲν κυρίως ἐνδεχομένως γίνεσθαι λέγεται ἐφ' ὧν καὶ τὸ ἐνδέχεσθαι μὴ γενέσθαι χώραν ἔχει, ὡς καὶ αὐτὸ τὸ ὁπότερ' ἔτυχε λεγόμενον ποιεῖ γνώριμον. τὰ δ' ἐξ ἀνάγκης οὐκ ἐνδέχεται μὴ γενέσθαι. Λέγω δὲ τὸ ἀναγκαῖον, οὐκ ἐπὶ τοῦ βίᾳ γινομένου· μὴ δὲ κατὰ τούτου τις εὐθυνέτω τοὔνομα, ἀλλ' ἐπὶ τῶν φύσει γινομένων ὑπό τινων, ὧν τὰ ἀντικείμενα ἀδύνατον εἴη γενέσθαι. Καίτοι πῶς οὐκ ἄτοπα, καὶ παρὰ τὰ ἐναργῆ. καὶ μέχρι τούτων τὴν ἀνάγκην προεληλυθέναι λέγειν, ὡς μήτε κινηθῆναί τινα δύνασθαι κίνησίν τινα, μήτε κινῆσαί τι τῶν αὐτῷ μερῶν, ἣν κίνησιν, καὶ μὴ κινεῖσθαι ποτε οἷόν τε ἦν, ἀλλὰ τὴν τυχοῦσαν τοῦ τραχήλου περιστροφὴν, καὶ τὴν δακτύλου τινὸς ἔκτασιν, καὶ τὸ ἐπᾶραι τὰ βλέφαρα, ἤ τι τῶν τοιούτων, προηγουμέναις τισὶν αἰτίαις ἑπόμενον, ἀλλ᾽ ὡς ὑφ᾽ ἡμῶν μὴ δύνασθαι γίνεσθαί ποτε; καὶ ταῦτα ὁρῶντας ἐν τοῖς οὖσί τε καὶ γινομένοις πολλὴν οὖσαν διαφορὰν τῶν πραγμάτων, ἐξ ἧς ῥᾴδιον ἦν μαθεῖν, ὅτι μὴ πάντα ἐνδέδεται ταῖς τοιαύταις αἰτίαις. Ὁρῶμεν γοῦν τὰ τῶν ὄντων, τὰ μέν τινα οὐδεμίαν ἔχοντα δύναμιν τῆς εἰς τὸ ἀντικείμενον τοῦ ἐν ᾧ ἐστι μεταβολῆς, τὰ δ᾽ οὐδὲν μᾶλλον αὐτῶν ἐν τῷ ἀντικειμένῳ, ἢ ἐν ᾧ ἐστιν, εἶναι δυνάμενα· πῦρ μὲν γὰρ οὐκ οἷόν τε δέξασθαι ψυχρότητα, ἥτις ἐστὶν ἐναντία αὐτοῦ τῇ συμφύτῳ θερμότητι, ἀλλ᾽ οὐδὲ χιὼν δέξαιτ᾽ ἂν θερμότητα, χιὼν μένουσα, ὕδωρ δὲ, κἂν ᾖ ψυχρὸν, οὐκ ἀδύνατον ἀποβάλλον ταύτην, δέξασθαι τὴν ἐναντίαν αὐτῇ θέρμοτητα. Ὁμοίως δὲ καὶ τῷ αὐτῷ δυνατὸν καὶ τὸν καθεζόμενον στῆναι, καὶ τὸν κινούμενον ἠρεμῆσαι, καὶ τὸν λαλοῦντα σιγῆσαι, καὶ ἐπὶ μυρίων εὕροι τις ἂν δύναμίν τινα ἐνυπάρχουσαν, τῶν ἐναντίων δεκτικὴν, ὧν εἰ τὰ ἐξ ἀνάγκης ὄντα ἐν θατέρῳ οὐκ ἔχει δύναμιν τοῦ δέξασθαι τοῦ ἐν ᾧ ἐστι τὸ ἐναντίον, οὐκ ἐξ ἀνάγκης ἂν εἴη, ἐν οἷς ἐστι τὰ καὶ τοῦ ἐναντίου αὐτοῖς δεκτικά. Εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἐνδεχομένως. Τὸ δὲ ἐνδεχομένως ὂν τινι, οὕτως ἐστὶν

ἐν

quandoque poſſibile erat non fieri, ſed & quamcunque tolli converſionem, digitíque alicujus extenſionem, & palpebrarum elevationem, & ſimilia ex antecedentibus cauſis conſequi, tanquam a noſtra poteſtate fieri nunquam poſſent, eóſque hoc affirmare qui & in iis quæ ſunt & quæ fiunt, inſignes rerum differentias cernunt, unde facile erat didiciſſe quòd non omnia talibus cauſis ſubjaceant? Videmus igitur quædam eorum quæ ſunt nullam habere poteſtatem mutandi ſe in contrarium ab eo in quo ſunt ſtatum, quædam verò æquè poſſe in contrario eſſe, ac in eo in quo ſunt. Ignem enim impoſſible eſt frigiditatem capere, ut quæ contraria ſit nativæ ejus caliditati, ſed nec nix, quamdiu nix manſerit, caliditatis receptiva eſt. Aqua autem quamvis ſit frigida, tamen poſſibile eſt ut abjectâ frigiditate, caliditatem ei contrariam recipiat. Similiter etiam poſſibile eſt eundem qui ſedet, ſtetiſſe, & eum qui movetur, quieviſſe, & loquentem tacuiſſe, & ita in aliis innumeris, facultatem aliquam contrariorum receptibilem ineſſe facilè reperies. In quorum alterutra parte ſiqua ſint, quæ ex neceſſitate facta, poteſtatem non habent recipiendi ejus in quo eſt contrarium, neutiquam ſane neceſſitate fieri putanda ſunt, in quibus ſunt ea, quæ illius quod illis contrarium eſt, receptiva ſunt. Si verò non ſint ex neceſſitate, tunc plane contingenter fiunt. Illud verò contingenter cuivis ineſſe dicimus, quòd ita in eo eſt, ut non ex neceſſitate, ſed ut contingenter in eo factum ſit. Quod verò contingenter in aliquo factum eſt, potuit etiam in eo factum non fuiſſe. Horum enim unumquodque ideo in eo eſt, in quo eſſe contingit, quia poſſibile erat in utrovis horum etiam contrarium fuiſſe. In quo verò jam eſt non ex neceſſitate ſimpliciter in eo eſt, cùm habeat poteſtatem ad contraria; ea verò quæ ſic ſunt in quibuſdam rebus non propter præcedaneas quaslibet cauſas, ea ad hæc ducentes, in iis plane contingens cernitur. Quocirca cùm omnia quæ ſunt pariter contrariorum ſuſceptibilia, contingenter inſint iis quibus in ſunt, & non ſint in iis in quibus non ſunt, ſequitur innumera eſſe quæ contingenter & ſunt & fiunt. Abſurdum enim eſt ſi quis ea ſimiliter & æqualiter ex neceſsitate cuivis ineſſe aſserat, quæ non ſunt receptiva eorum quæ ſunt contraria illis quibus inſunt, & ea itidem quæ nihilo magis quolibet tempore horum ſuſceptiva ſunt, quàm eorum quæ ſunt his contraria. Si enim ea quæ cuivis ex neceſſitate inſunt, contrariorum ei ſuſceptiva non ſint, ſequitur ea quæ ſunt ſuſceptiva contrarii, non ineſſe ex neceſſitate cui inſunt.

§. X. Si qui autem arguant ex eo, quòd omnia ſecundùm fatum fiant, non tolli poſſibile & contingens, illúdque ſic probent, quòd hoc ſit poſſibile quòd a nullo impeditur fieri, cùm

ἐν αὐτῷ, ὡς οὐκ ἐξ ἀνάγκης, ἀλλ' ὡς ἐνδεχομένως ἐν αὐτῷ γεγονός. Τὸ δὲ ἐνδεχομένως γεγονὸς ἔν τινι, καὶ μὴ γεγονέναι ἐν αὐτῷ οἷόν τε ἦν. Ἔστι μὲν γὰρ ἕκαστον καὶ τούτων, ἐν ᾧ ὂν τυγχάνει, διότι ἦν ἐνδεχόμενον ἐν θατέρῳ αὐτῶν καὶ τὸ ἀντικείμενον εἶναι ἐν ᾧ δὴ ἔστι νῦν, οὐκ ἐξ ἀνάγκης ἁπλῶς ἐστιν ἐν τούτῳ, διὰ τὴν πρὸς τὰ ἀντικείμενα δύναμιν, ἀλλὰ μὴν τὰ οὕτως ὄντα ἔν τισιν, οὐ διὰ αἰτίας τινὰς προκαταβεβλημένας, ἐξ ἀνάγκης εἰς ταῦτα ἀγούσας, ἐν αὐτοῖς ἐνδεχόμενόν ἐστιν, ὥστ' εἰ πάντα τὰ ὁμοίως τῶν ἀντικειμένων ὄντα δεκτικὰ, ἐνδεχομένως τε ἐστιν, ἐν οἷς ἐστιν, καὶ οὐκ ἔστιν ἐν οἷς οὐκ ἔστι, μυρία ἂν εἴη τὰ ἐνδεχομένως ὄντα τε καὶ γινόμενα. Ἄτοπον γὰρ ὁμοίως ἐξ ἀνάγκης εἶναι λέγειν ἔν τινι τά τε ἀνεπίδεκτα τῶν ἐναντίων τούτοις ἐν οἷς ἐστι, καὶ τὰ μηδὲν μᾶλλον καθ' ὀντινοῦν χρόνον τούτων, ἢ τῶν ἐναντίων αὐτοῖς δεκτικά. Εἰ γὰρ τὰ ἐξ ἀνάγκης ὄντα ἔν τινι, ἀνεπίδεκτα τοῦ ἐναντίου αὐτῷ, τὰ ἐπιδεκτικὰ τοῦ ἐναντίου, οὐκ ἐξ ἀνάγκης ἂν ἐν ᾧ ἐστιν, εἴη.

§. X.

Τὸ δὲ λέγειν μὴ ἀναιρεῖσθαι πάντων γινομένων καθ' εἱμαρμένην τὸ δυνατόν τε καὶ ἐνδεχόμενον, τῷ δυνατὸν μὲν εἶναι γενέσθαι τοῦτο, ὃ ὑπ' οὐδενὸς κωλύεται γενέσθαι, ἂν μὴ γένηται, τῶν δὲ καθ' εἱμαρμένην γινομένων, οὐ κεκώλυται τὰ ἀντικείμενα γενέσθαι, διὸ καίτοι μὴ γινόμενα, ὅμως ἔστι δυνατὰ, καὶ τοῦ μὴ κεκωλύσθαι γενέσθαι αὐτὰ ἀπόδειξιν φέρει, τὸ ἡμῖν τὰ κωλύοντα αὐτὰ ἄγνωστα εἶναι, πάντως μέν τινα ὄντα, ἃ γάρ ἐστιν αἴτια τοῦ γενέσθαι τὰ ἀντικείμενα αὐτοῖς καθ' εἱμαρμένην ταῦτα καὶ τοῦ μὴ γενέσθαι τούτοις αἴτια, εἴγε, ὥς φασιν, ἀδύνατον τῶν αὐτῶν περιεστώτων γίνεσθαι τὰ ἀντικείμενα, ἀλλ' ὅτι μὴ ἡμῖν ἐστι γνώριμά τινα, ἅ ἐστι, διὰ τοῦτο ἀκώλυτον αὐτῶν τὸ μὴ γίνεσθαι λέγουσιν, τὸ δὴ ταῦτα λέγειν, πῶς οὐ παιζόντων ἐστὶν ἐν οὐ παιδιᾶς λόγοις δεομένοις; Τὸ γὰρ ἡμᾶς ἀγνοεῖν, οὐδὲν πρὸς τὸ εἶναι ἢ μὴ εἶναι τὰ πράγματα, δῆλοι γάρ εἰσιν οἱ λέγοντες οὕτως, ὡς τῇ ἡμετέρᾳ γνωρίσει τὸ δυνάτον ἔσται κατ' αὐτοὺς· τοῖς γὰρ γνωρίζειν αὐτῶν τὰ αἴτια δυναμένοις (οὗτοι δ' ἂν εἶεν οἱ μάντεις) οὐκ ἔσται δυνατὰ αὐτὰ τοῖς εἰδόσι δυνάμενα αὐτὰ κεκωλυκέναι, ἀγνοοῦσι δὲ ἡμῖν τα κωλύοντα δυνατὰ ἔσται σώζοντες δὲ τὴν τοῦ δυνατοῦ φύσιν οὕτως, ὡς εἰρήκαμεν, διὰ τοῦτο φασὶ μὴ δὲ τὰ γινόμενα καθ' εἱμαρμένην, καί τοι ἀπαραβάτως γινόμενα, ἐξ ἀνάγκης γίνεσθαι, ὅτι ἔστιν αὐτοῖς δυνατὸν γενέσθαι καὶ τὸ ἀντικείμενον, δυνατοῦ οὕτως λεγομένου ὡς προείρηται.

cùm non fiat, eorum vero quæ Fato fiunt contraria fieri non impediantur, ideóque licet non fiant, tamen poſſibilia ſunt, dein ea non impediri quin fiant hoc argumento demonſtrare aggrediantur, quòd nobis incognita ſint quæ impediant, cùm tamen ſint aliqua, quæ enim ſunt cauſæ ut contraria illis ex Fato fierent, cauſæ planè ſunt ut hæc illis non fiant, quandoquidem, ut illi aſſerunt, impoſſibile eſt poſitis iiſdem circumſtantiis contraria fieri, ſi, inquam, quòd nobis cognita non ſint quædam quæ ſunt, idcirco nihil obſtare arguant, quo minùs fiant, nónne hæc dicere, ludificari eſt, ídque in ſermonibus, ubi nullus ludicris locus eſt? Nihil enim refert ad id quòd res ſint vel non ſint, eas a nobis ignorari. Qui enim ſic arguunt, manifeſtum eſt, ex eorum ſententia pendere a noſtra cognitione ut ſit aliquid poſſibile. Nec igitur illis qui eorum cauſas norunt, quales ſunt vates, amplius poſſibilia erunt ea quorum ipſi norunt cauſas impedientes, nobis vero qui ignoramus ea obſtacula, poſſibilia erunt. Hoc illi quem diximus modo poſſibilis naturam defendentes, ſimiliter dicunt neque ea quæ ex Fato fiunt, quamvis immutabiliter facta, fieri ex neceſſitate, quòd etiam poſſibile eſt fieri id quod iis contrarium eſt, eâ nempe ſignificatione poſſibilis, quam prædiximus, ſed annon hæc, ut dixi, ludificantium ſunt, non eorum qui dogma ſeriò defendunt? Nec diſſimile eſt quod etiam dicunt propoſitionem hanc [erit cras pugna navalis] veram quidem eſſe poſſe, & non itidem neceſſariam. Neceſſarium enim eſſe id quod ſemper verum eſt, hæc verò propoſitio nondum eſt vera, ſed vera futura eſt cùm navalis pugna contigerit. Quòd ſi, inquiunt, non ſit hæc propoſitio neceſſaria, neque neceſſarium erit id, quod eâ ſignificatur, futuram ſcilicet ex neceſſitate navalem pugnam. Si autẽ non ſit hoc ex neceſſitate verum, cùm tamen verum ſit fore navalem pugnam, non vero ex neceſſitate, ſed contingenter, manifeſtum eſt, inquiunt, contingens reſpectu aliquorum quæ fiunt non tolli ab eo qui omnia Fato fieri affirmat. Nam & hoc etiam ludificantium eſt, ſimúlque ea de quibus loquuntur ignorantium. Neque enim omne quod ex neceſſitate fit neceſſarium erit, ſiquidem id quod neceſſariũ eſt, eſt æternum. Quod enim ex neceſſitate fit, eo ipſo quòd fiat, æternum eſſe prohibeatur. Neque enim propoſitio illud affirmans eſt neceſſaria, ſiquidem id quod per eam ſignificatur non ſit tale: non enim omnis propoſitio in qua neceſſarium continetur, ſtatim neceſſaria eſt, non enim ex eo propoſitio neceſſaria eſſe judicatur, ſed ex eo quòd non poſſit ex vero in falſum mutari. Quod ſi ſic, nihil igitur vetat, veram eſſe propoſitionem

illam,

προείρηται. Ἀλλὰ ταῦτα μὴ παιζόντων, ὥσπερ εἶπον, ἐστίν, ἀλλ' οὐ παεισταμένων δόγματι; ὅμοιον δὲ τούτῳ καὶ τὸ λέγειν, τὸ ἀξίωμα, τὸ ἔσται αὔριον ναυμαχία, ἀληθὲς μὲν εἶναι δύνασθαι, οὐ μέντοι καὶ ἀναγκαῖον, ἀναγκαῖον μὲν γὰρ τὸ ἀεὶ ἀληθές, τοῦτο δὲ οὐκέτ' ἀληθὲς μὲν ἐπειδὰν ἡ ναυμαχία γένηται. Εἰ δὲ μὴ τοῦτο ἀναγκαῖον, οὐδὲ τὸ ὑπ' αὐτοῦ σημαινόμενον, τὸ ἐξ ἀνάγκης ἔσεσθαι ναυμαχίαν. Εἰ δὲ ἔσται μὲν οὐκ ἐξ ἀνάγκης ἀληθές, ἀληθοῦς ὄντος τοῦ ἔσεσθαι ναυμαχίαν, οὐκ ἐξ ἀνάγκης δέ, ἐνδεχομένως, δηλονότι, εἰ δὲ ἐνδεχομένως, οὐκ ἀναιρεῖται τὸ ἐνδεχόμενον, (ὥς τινα γενέσθαι) ὑπὸ τοῦ πάντα λέγοντος γίνεσθαι καθ' εἱμαρμένην. Πάλιν γὰρ καὶ τοῦτο ὁμοῦ παιζόντων ἐστὶ, ὁμοῦ δὲ ἀγνοούντων περὶ ὧν λέγουσι· οὔτε γὰρ πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον ἀναγκαῖον, εἴγε τὸ μὲν ἀναγκαῖον ἀΐδιον, τὸ δὲ ἐξ ἀνάγκης γινόμενον, ὑπ' αὐτοῦ τοῦ γίνεσθαι τοιοῦτο εἶναι κεκώλυται· οὔτε τὸ ἀξίωμα τὸ τοῦτο λέγον ἀναγκαῖον, εἴγε μὴ τὸ ὑπ' αὐτοῦ σημαινόμενον τοιοῦτο. Οὐ γὰρ πᾶν ἀξίωμα ἐν ᾧ τὸ ἀναγκαῖον περιέχεται, ἀναγκαῖον ἤδη, οὐ γὰρ ταύτῃ τὸ ἀναγκαῖον ἀξίωμα κρίνεται, ἀλλὰ τῷ μὴ μεταπίπτειν δύνασθαι εἰς ψεῦδος ἐξ ἀληθοῦς. Εἰ τοίνυν, μὴ ἀναγκαῖον οὐδὲν κεκώλυται ἀληθὲς εἶναι, ὡς τὸ ἔσται αὔριον ναυμαχία, Εἰ γὰρ ὡς ἀναγκαῖον γινόμενον, διὰ τὴν τοῦ ἀναγκαίου προσθήκην, οὐκ ἀληθὲς, εἰ μὴ γίνοιτο ἀναγκαῖον τῇ τοῦ ἐξ ἀνάγκης προσθέσει, ἀληθὲς ἂν μένοι, ὁμοίως τῷ χωρὶς τῆς δὲ τῆς προσθήκης λεγομένῳ, δεῖ εἰ τοῦτ' ἀληθὲς, ἀληθὲς ἔσται, ἐνστάσης τῆς αὔριον, ἀξίωμα, τὸ ἐξ ἀνάγκης γεγονέναι ναυμαχίαν, εἰ δὲ ἐξ ἀνάγκης, οὐκ ἐνδεχομένως, καὶ γὰρ εἰ ἀληθὲς ὅτι, τὸ αὔριον ἔσται ναυμαχία, ἀεὶ γενέσθαι ναυμαχίαν καθ' εἱμαρμένην ἔσται, ἔιγε, πάντα τὰ γινόμενα καθ' εἱμαρμένην, ἀλλ' εἰ καθ' εἱμαρμένην, ἀπαραβάτως, εἰ ἀπαραβάτως, ὀυκ ἐνδέχεται μὴ γενέσθαι, ὃ δὲ ὀυκ ἐνδέχεται μὴ γενέσθαι, τοῦτο ἀδύνατον μὴ γενέσθαι, ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, πῶς οἷόν τε τοῦτο λέγειν ἐνδέχεσθαι καὶ μὴ γενέσθαι; τὸ γὰρ ἀδύνατον μὴ γενέσθαι, ἀναγκαῖον γενέσθαι. Πάντα ἄρα τὰ καθ' εἱμαρμένην γινόμενα, ἐξ ἀνάγκης ἔσται, κατ' αὐτοὺς, ἀλλ' οὐχὶ καὶ ἐνδεχομένως, ὡς παίζοντες λέγουσι.

§. XI: Ἀκολουθεῖ δὲ τῷ πάντα τὰ γινόμενα προκαταβεβλημέναις καὶ ὡρισμέναις καὶ προϋπαρχούσαις τισιν αἰτίαις ἔσεσθαι, τὸ καὶ βουλεύεσθαι τοὺς ἀνθρώπους μάτην περὶ τῶν πρακτέων αὐτοῖς. Εἰ δὲ τὸ βουλεύεσθαι μάτην μάτην ἂν ἄνθρωπος εἴη βουλευτικὸς· Καί τοι εἰ μηδὲν μάτην ἡ φύσις ποιεῖ

illam quæ neceſſaria non eſt, nempe, Cras mari pugnabitur. Si enim tanquam neceſſaria eſſet, cùm neceſſarii adjectione enuntietur, deſinet eſſe vera; ſi verò neceſſaria non fiat, ideo quod addatur ex neceſſitate fieri, manebit quidem vera æquè ac ſi ſine hac adjectione enuntiaretur. Quod ſi verum ſit, vera etiam erit, cùm craſtinus dies advenerit propoſitio illa, ex neceſſitate factam eſſe navalem pugnam (ſi autem ex neceſsitate, certè non contingenter: Quinimo ſi vera eſt ea enuntiatio, Cras mari pugnabitur, ſemper in Fatis erit fieri pugnam navalem) ſi autem ſic, tunc omnia ex Fato fiunt; & ſi ex Fato, inevitabiliter; ſi inevitabiliter, tunc non poſsunt non fieri. Quod vero non poteſt non fieri, hoc impoſsibile eſt non fieri. Quod vero impoſſibile eſt non fieri, quomodo illud dici poteſt poſſe non fieri? Quod enim impoſsibile eſt non fieri, neceſsarium eſt ut illud fiat. Omnia ergo ex Fato facta, ſecundùm eorum ſententiam, ex neceſsitate erunt, non autem contingenter, ut illi ludificantes affirmant.

§. XI. Huic item ſententiæ, quòd omnia quæ fiunt, ex priùs jactis, & determinatis & antecedentibus quibuſdam cauſis futura ſunt, conſequens eſt, ut homines de rebus agendis fruſtrà conſulant; ſi verò conſulere fruſtrà ſit, fruſtra quidem homo animal deliberativum factus eſt. Quòd ſi natura nihil eorum quæ principaliter intendit, fruſtrà facit, hominem autem eſſe animal deliberativum principaliter à natura intenditur, non autem principaliter intentis per conſequentiam accidit, hinc quivis colligat non fruſtrà homines deliberativos factos eſſe. Quòd autem fruſtrà ſit deliberare ſi omnia ex neceſſitate fiant, facile erit cognitu iis, qui deliberandi uſum ſciunt. In conſueto autem eſt apud omnes, hoc hominum præ aliis animalibus naturale privilegium eſſe, quòd non, ut illa, ea quæ apparent ſequantur, ſed à natura habeant phantaſiarum occurrentium judicem, qui de iis an eligenda ſint, judicium ferat, rationem ſcilicet, quâ utens, ſi apparentia poſt examinationem talia ſint, qualia priùs videbantur eſſe, conſentit repreſentationi, & ſic ea proſequitur, ſi verò diverſa appareant, & aliud quidvis magis eligendum judicetur, illud electura eſt, eo relicto quod initio ut eligendum apparebat Multa igitur à primis apparentiis aliena dein viſa, non manſere diutiùs, ut priùs erant, approbata, cùm a rationis judicio repudiata ſint. Unde & illa quæ facta quidem fuiſſent, quantum attinet ad judicium à phantaſia de iis factum, facta non ſunt, quod de iis conſultavimus nos, ut qui & conſultandi, & ea quæ ex conſilio ſunt eligendi domini ſimus. Hinc igitur eſt, quòd non deliberamus de æternis, neque de

ποιεῖ τῶν προηγουμένων, τὸ δὲ βουλευτικὸν εἶναι ζῷον τὸν ἄνθρωπον, προηγουμένως ὑπὸ τῆς φύσεως, ἀλλ᾽ οὐ καὶ ἐπακολούθημά τι καὶ σύμπτωμα τοῖς προηγουμένως γινομένοις γίνοιτο, συνάγοιτο ἂν τὸ μὴ εἶναι μάτην τοὺς ἀνθρώπους βουλευτικούς. Ὅτι δὲ τὸ βουλεύεσθαι μάτην, πάντων γινομένων ἐξ ἀνάγκης, ῥᾴδιον γνῶναι, τὴν τοῦ βουλεύεσθαι χρείαν εἰδόσιν. Ὁμολογεῖται δὲ πρὸς ἁπάντων, τὸ τῶν ἄλλων ζώων τὸν ἄνθρωπον τοῦτο παρὰ τῆς φύσεως ἔχειν πλέον, τὸ μὴ ὁμοίως ἐκείνοις ταῖς φαντασίαις ἕπεσθαι, ἀλλ᾽ ἔχειν παρ᾽ αὐτῆς κριτὴν τῶν προσπιπτουσῶν φαντασιῶν, περί τινων ὡς αἱρετῶν, τὸν λόγον, ᾧ χρώμενος, εἰ μὲν ἐξεταζόμενα τὰ φανταθέντα, οἷα τὴν ἀρχὴν ἐφάνη, καὶ ἔστι, συγκατατίθεται τῇ φαντασίᾳ, καὶ οὕτω μέτεισιν αὐτὰ, εἰ δὲ ἀλλοῖα φαίνεται, καὶ ἄλλό τι ἂν αἱρετώτερον, ἐκεῖνο αἱρεῖται, καταλείπων τὸ τὴν ἀρχὴν ὡς αἱρετὸν αὐτῷ φανέν. Πολλὰ γοῦν ταῖς πρώταις φαντασίαις ἡμῖν ἀλλοῖα δόξαντα, οὐκέτ᾽ ἔμεινεν ἐπὶ τῆς προλήψεως, ἐλέγξαντος αὐτὰ τοῦ λόγου. Διὸ πραχθέντα ἂν, ὅσον ἐπὶ τῇ αὐτῶν γινομένῃ φαντασίᾳ, διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν, οὐκ ἐπράχθη, ἡμῶν τοῦ τε βουλεύσασθαι, καὶ τῆς αἱρέσεως τῆς ἐκ τῆς βουλῆς, ὄντων κυρίων. Διὰ τοῦτο γοῦν, οὔτε περὶ τῶν ἀϊδίων βουλευόμεθα, οὔτε περὶ τῶν ὁμολογουμένως γινομένων ἐξ ἀνάγκης, ὅτι μηδὲν ἡμῖν ἐκ τοῦ περὶ αὐτῶν βουλεύεσθαι. Περιγίνεται πλέον. Ἀλλ᾽ οὐδὲ περὶ τῶν ἐξ ἀνάγκης μὲν μὴ γινομένων, ἐπ᾽ ἄλλοις δέ τισιν ὄντων βουλευόμεθα, ὅτι μηδὲ ἀπὸ τῆς περὶ ἐκείνων βουλῆς ὄφελός τι ἡμῖν, ἀλλ᾽ οὐδὲ περὶ τῶν ἡμῖν μὲν πρακτῶν, παρεληλυθότων δέ, βουλευόμεθα, ὅτι μὴ δὲ τῇ περὶ τούτων βουλῇ πλέον τι ἡμῖν γίνεται. Βουλευόμεθα δὲ περὶ μόνων τῶν ὑφ᾽ ἡμῶν τε πραττομένων, καὶ μελλόντων. Δῆλον, ὡς ἕξοντές τι διὰ τοῦτο πλέον, εἰς τὴν αἵρεσίν τε, καὶ πρᾶξιν αὐτῶν. Εἰ γὰρ ἐν οἷς οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύεσθαι αὐτοῦ μόνου περιγίνεται, οὐ βουλευόμεθα, δῆλον ὡς ἐν οἷς βουλευόμεθα περὶ αὐτῶν, ἐπ᾽ αὐτὸ τὸ βουλεύσασθαι περιγίνεται πλέον, ἢ περὶ τῶν ἄλλων βουλευομένοις περὶ ὧν προειρήκαμεν. Τί ποτ᾽ οὖν τὸ περιγινόμενον ἐκ τῆς βουλῆς; τὸ ἔχοντας ἡμᾶς ἐξουσίαν τῆς αἱρέσεως τῶν πρακτέων, ὃ οὐκ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι (τῷ ἄλλου πρᾶξαι ἂν, διὰ τὸ εἶξαι τῇ προσπεσούσῃ φαντασίᾳ) τοῦτο αἱρετώτερον ὑπὸ λόγου φανὲν, αἱρεῖσθαί τε καὶ πράττειν πρὸ ἐκείνου. Ὅ γίνοιτ᾽ ἄν, εἰ μὴ πάντα πράττομεν κατηναγκασμένως, εἰ δὲ εἴη μὲν πάντα ἃ πράττομεν πράττοντες διά τινας αἰτίας προκαταβεβλημένας,

iis quæ ex neceſſitate fieri in confeſſo eſt, quia nihil utilitatis ex tali conſultatione nobis oriri poteſt. Sed neque de iis conſultamus quæ licet non fiant ex neceſſitate, in aliorum tamen poteſtate ſunt, quia neque à conſultando de his quicquam nobis commodi exurgit. Sed nec de iis conſultamus quæ nos ipſi facimus, ſed jam præterita ſunt, quia neque ex tali conſultatione quicquam nobis emolumenti venit, verùm de iis ſolummodo deliberamus, quæ & in noſtra poteſtate, & futura ſunt, quia ſcilicet ex tali conſultatione aliquid lucraturi ſumus, in ordine ad electionem & executionem eorum. Si enim non conſultamus de iis ubi ſolâ conſultatione nihil proficimus, manifeſtum eſt plus nobis commodi ex conſultatione exſurgere in iis de quibus conſultamus, quàm ſi conſultaverimus de iis quæ prædicta ſunt. Quod igitur eſt quod conſultando lucramur? Hoc ſcilicet, quòd cùm nos poteſtatem eligendi ea quæ agenda ſunt habeamus, illud quod niſi conſultaverimus facturi non eramus (aliud quippe acturi, phantaſiæ obſecuti) jam rationi eligibilius viſum eligamus & faciamus præ altero. Quod quidem facile fieri poteſt, ſi non omnia ex neceſſitate facimus. Sed ſi omnia quæ facimus propter quaſdam priùs injectas cauſas faciamus, eodem modo quo calefacit ignis, & lapis deorſum fertur, & cylindrus in declivi volvitur, quid quæſo nos conſultando de eo quod agendum eſt lucrabimur? Quod enim facturi eramus ſine conſultatione, id & poſt conſultationem facere neceſſe eſt. Sic ut nihil acquiratur nobis ex conſultatione præter ipſam conſultationem. At & hoc poſſumus facere circa ea quæ non ſunt noſtræ poteſtatis, non tamen facimus, quia inutile eſt. Inutilis igitur eſt conſultatio, etiam cùm eâ utamur cum expectatione ut aliquod nobis indè emolumenti exurgat. Unde ſequitur fruſtrà nobis à natura dari ut conſultativi ſimus. Quibus cùm addatur & eorum qui ſic diſputant & ferè omnium in commune philoſophorum ſententiam eſſe, nihil à natura fieri fruſtrà, tollentur ſtatim ea quibus conſequens eſt, fruſtrà nos eſſe conſultativos. Sequebatur autem hoc ex eo quòd nos eorum quæ ipſi facimus talem poteſtatem non habeamus, ut contraria facere poſſimus.

§. XII. Sublatâ autem, ut oſtenſum eſt, conſultatione, in eorum opinione tollitur etiam manifeſtè omne id quod in noſtra poteſtate eſt. Hoc enim ſenſu omnes quotquot ſuæ ſententiæ tuendæ affixi non ſunt, ſumſerunt id quod in noſtra poteſtate eſt, ut ſignificet & cujus nos & faciendi & non faciendi domini ſumus, non obſequentes externis quibuſvis

ὡς μηδεμίαν ἐξουσίαν ἔχειν τοῦ πρᾶξαι τὸ δέ τι, καὶ μή, ἀλλ' ἀφωρισμένως ἕκαστον πράττειν ὧν πράττομεν, παραπλησίως τῷ θερμαίνοντι πυρὶ καὶ τῷ λίθῳ τῷ καταφερομένῳ, καὶ τοῦ πρανοῦς κυλιομένῳ κυλίνδρῳ, τί πλέον ἡμῖν εἰς τὸ πράττειν ἐκ τοῦ βουλεύσασθαι περὶ τοῦ πραχθησομένου γίνεται; ὃ γὰρ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι, τοῦτο καὶ μετὰ τὸ βουλεύσασθαι πράττειν ἀνάγκη. Ὡς τ' οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύσασθαι αὐτοῦ τοῦ βουλεύσασθαι περιγίνεται. Ἀλλὰ μὲν τοῦτο καὶ ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν δυνάμενοι ποιεῖν, ὡς ἄχρηστον ὂν παρῃτούμεθα. Ἄχρηστον ἄρα τὸ βουλεύσασθαι, καὶ ἐφ' ὧν αὐτῷ ὥς τι χρησίμον ἡμῖν παρεχομένῳ χρώμεθα. Οἷς εἵπετο τὸ μάτην ἡμῖν ὑπὸ τῆς φύσεως τοῦ βουλευτικοῖς εἶναι δεδόσθαι. Οἷς προστεθέντος, τοῦ αὐτοῖς γε τούτοις, καὶ κοινῶς πᾶσι σχεδὸν τοῖς φιλοσοφοῦσι δοκοῦντος, τὸ μηδὲν ὑπὸ τῆς φύσεως γίνεσθαι μάτην, ἀναιρεῖτο ἄν, οἷς εἵπετο τὸ μάτην ἡμᾶς εἶναι βουλευτικούς. Εἵπετο δὲ τοῦτο, τῷ τῶν πραττομένων ὑφ' ἡμῶν, μὴ ἔχειν ἡμᾶς τοιαύτην ἐξουσίαν, ὡς δύνασθαι τὰ ἀντικείμενα.

§. XIJ.

Ἀναιρουμένου δέ, ὡς ἐδείχθη, τοῦ βουλεύσασθαι κατ' αὐτούς, ἀναιρεῖται καὶ τὸ ἐφ' ἡμῖν προδήλως. Τοῦτο γὰρ ἐφ' ἡμῖν πάντες, ὅσοι μὴ θέσει τινὶ παρίστανται, παρειλήφασιν εἶναι, οὗ ἡμεῖς μὲν καὶ τοῦ πραχθῆναι, καὶ τοῦ μὴ πραχθῆναι κύριοι, οὐχ ἑπόμενοί τισιν ἔξωθεν ἡμᾶς παριστᾶσιν αἰτίοις, οὐδὲ ἐνδιδόντες αὐτοὺς ᾗ ἐκεῖνα ἄγει. Καὶ ἡ προαίρεσις, τὸ ἴδιον ἔργον τῶν ἀνθρώπων περὶ ταὐτό. Ἡ γὰρ ἐπὶ τὸ προκριθὲν ἐκ τῆς βουλῆς μετ' ὀρέξεως ὁρμὴ, προαίρεσις. Διὸ οὐδὲ ἐπὶ τοῖς ἀναγκαίως γινομένοις ἡ προαίρεσις, οὔτε ἐπὶ τοῖς μὴ ἀναγκαίως μὲν, εἰ μὴ δι' ἡμῶν, ἀλλ' οὐδὲ ἐν πᾶσι τοῖς δι' ἡμῶν, ἀλλ' ἐν τούτοις τοῖς γινομένοις δι' ἡμῶν, ὧν ἡμεῖς τοῦ πρᾶξαι, καὶ τοῦ μὴ πρᾶξαι κύριοι. Ὁ γὰρ βουλευόμενος περί τινος, ἤτοι περὶ τοῦ δεῖν αὐτὸ πράττειν, ἢ μὴ πράττειν βουλεύεται, ἢ σπουδάζων ὡς περὶ ἀγαθῶν τι, ζητεῖ δι' ὧν ἂν τούτου τύχοι, κἂν μὲν ἀδυνάτῳ τινὶ ζητῶν τύχοι, κἂν μὲν ἀφίσταται, ἀφίσταται δὲ ὁμοίως καὶ τῶν δυνατῶν μὲν, οὐκ ὄντων δὲ ἐπ' αὐτῷ, μένει δὲ ἐν τῇ περὶ τοῦ προκειμένου ζητήσει, ἕως ἂν ἐντύχῃ τινὶ, οὗ τὴν ἐξουσίαν αὐτὸς ἔχειν πέπεισται, μεθ' ὃ παυσάμενος τοῦ βουλεύεσθαι, ὡς ἀναγαγὼν τὴν ζήτησιν ἐφ' αὐτὸ, ὃ ἐστιν ἀρχὴ τῶν πράξεων, ἄρχεται τῆς πρὸς τὸ προκείμενον πράξεως. Γίνεται δὲ καὶ ἡ ζήτησις αὐτῷ ὡς ἐξουσίαν ἔχοντι τοῦ πράττειν καὶ τὰ ἀντικείμενα, καθ' ἕκαστον γὰρ τῶν ὑπὸ τὴν βουλὴν ἡ ζήτησις βουλευομένῳ γίνεται. Πότερον τοῦτο, ἢ τὸ ἀντικείμενον αὐτῷ προακτέον μοι, κἂν πάντα λέγῃ γίνεσθαι καθ' εἱμαρμένην, ἐλέγχει γὰρ

buſvis cauſis nos impellentibus, nec nos illis tradentes quò ille voluerint ducendos. Electio autem illa quæ proprium hominum opus eſt, hoc ſenſu accipitur, eſt enim electio motio animi cum deſiderio versùs illud quod præcedenti conſultatione appetendum judicavit. Nulla igitur electio eſt circa ea quæ neceſſitate fiunt, neque circa ea quæ licet neceſſaria non ſint, tamen non fiunt per nos, ſed neque circa omnia quæ per nos fiunt, ſed circa hæc tantùm quæ ut per nos fiunt, ita eorum nos domini ſumus ea vel agendi vel non agendi. Qui enim de re qualibet conſultat, vel an facere id vel non facere oporteat, conſultat, vel cupiens aliquid ſub ratione boni, quibus mediis illud adipiſcatur, quærit, & ſi dum quærit in impoſſibile aliquod incidat, ab eo abſcedit, & ſimiliter ab iis quæ poſſibilia ſunt, ſed non in ipſius poteſtate, abſcedit; perſtat autē in rei propoſitæ inquiſitione donec in aliquod medium incidat, cujus ipſe poteſtatem habere ſe confidit, & poſtea conſultare deſinit, ut qui jam quæſtionem perduxerit ad id quod eſt initium actionis. Fit autem ab eo hæc quæſtio ut qui poteſtatem habeat etiam contraria faciendi. In ſingulis enim eorum quæ ſub conſilium cadunt, hæc à conſultante quæſtio fit, utrum hoc vel contrarium a me faciendum ſit, ídque quamvis ille conſultet qui omnia fato fieri affirmat. Falſa:

enim eorum de actionibus opiniones veritas eorum quæ ipſi faciunt, refellit. Quomodo igitur non abſurdum erit affirmare omnes communiter homines hunc errorem naturâ duce erraſſe: Quòd enim prædiximus hanc hominem in actionibus poteſtatem habere, ut poſſit ſe ad contrarium vertere, quódque non omne quod eligimus, priùs injectas cauſas habeat, per quas impoſſibile eſt id à nobis non eligi, ſufficienter demonſtrat pœnitentia, quæ ſæpenumero electiones noſtras ſequitur, tanquam enim in noſtra poteſtate fuerit & non elegiſſe & non feciſſe hoc, pœnitentiam agimus, nóſque ipſos erroris in conſultando accuſamus: Imò & ſi alios viderimus non rectè de agendis judicium facientes, eos itidem incuſamus ut peccatores. Aliorum etiam conſilium imploramus, ut qui in poteſtate noſtra eſſe ſentimus eos vel aſſumere ad conſilium vel non aſſumere, ut ſcilicet ex præſentia eorum quædam faciamus quæ aliter facturi non eramus. Quòd autem libertas arbitrii de iis enuncietur, quæ, vel eorum contraria eligere in noſtra poteſtate ſitum eſt, etiam ex ſeipſo notum eſt, et ſufficienter demonſtratum ex iis quæ prædiximus.

§. XIII. Quod cùm ita ſit, non tamen ii qui ex Fato fieri omnia affirmant, omnino tentant probare hoc cum ſententia ipſorum conciliari poſſe, ſciunt enim, ſi hoc tentarent, ſe impoſſibila aggreſſuros. Aliam

ἢ ἐν τοῖς πρακτοῖς ἀλήθεια τὰς περὶ αὐτῶν ἡμαρτημένας δόξας. Ἣν πλάνην κοινῶς πάντας ἀνθρώπους ὑπὸ τῆς φύσεως πεπλανῆσθαι, πῶς οὐκ ἄτοπον λέγειν; ὅτι γὰρ ταύτην ἔχειν τὴν ἐξουσίαν ἐν τοῖς πρακτοῖς προειλήφαμεν, ὡς δύνασθαι διαιρεῖσθαι τὸ ἀντικείμενον, καὶ μὴ πᾶν ὃ αἱρούμεθα. ἔχειν προκαταβεβλημένας αἰτίας, δι' ἃς οὐχ οἷόν τε ἡμᾶς μὴ τοῦτο αἱρεῖσθαι, ἱκανὴ δεῖξαι καὶ ἡ ἐπὶ τοῖς αἱρεθεῖσι γινομένη πολλάκις μετάνοια. Ὡς γὰρ ἐνὸν ἡμῖν, καὶ τὸ μὴ ᾑρεῖσθαι, καὶ μὴ πεπραχέναι τοῦτο, μετανοοῦμέν τε καὶ μεμφόμεθα αὐτοῖς τῆς περὶ τὴν βουλὴν ὀλιγωρείας. Ἀλλὰ κἂν ἄλλους ἴδοιμεν μὴ καλῶς περὶ τῶν πρακτέων διαλαμβάνοντας, κἀκείνοις ἐπικαλοῦμεν, οἷς ἁμαρτάνουσιν. Ἀξιοῦμεν δὲ συμβούλοις τοιοῖσδε χρῆσθαι, ὡς ἐφ' ἡμῖν ὂν τότε παραλαμβάνειν αὐτοὺς συμβούλους ὄντας, ἢ μὴ παραλαμβάνειν, ὡς πράξαι ἂν διὰ τὴν τῶν τοιούτων παρουσίαν ἄλλα καί τινα καὶ μὴ ταῦτα ἃ πράσσομεν. Ἀλλ' ὅτι μὲν τὸ ἐφ' ἡμῖν ἐπὶ τούτων κατηγορεῖται, ὧν ἐν ἡμῖν ἡ ἐξουσία τοῦ ἑλέσθαι, καὶ τὰ ἀντικείμενα, γνώριμον ὂν καὶ ἐξ αὐτοῦ, ἱκανὰ ὑπομνῆσαι καὶ τὰ προειρημένα.

§. XIII. Τοιούτου δ' ὄντος αὐτοῦ, τὸ μὲν δεικνύναι τοῦτο σωζόμενον, κατὰ τοὺς πάντα λέγοντας γίνεσθαι καθ' εἱμαρμένην, οὐδὲ ἐπιχειροῦσι τὴν ἀρχήν, ἴσασι γὰρ ἐγχειρήσαντες ἀδυνάτοις, ὡς ἐστὶ ἐπὶ τῆς τύχης ἄλλο τι σημαινόμενον ὑποθέντες τῷ τῆς τύχης ὀνόματι, παράγειν πειρῶνται τοὺς ἀκούοντας αὐτῶν, ὡς σώζοντες, καὶ αὐτοὶ τὸ ἀπὸ τύχης γίνεσθαί τινα. Οὕτω δὲ καὶ ἐπὶ τοῦ ἐφ' ἡμῖν ποιοῦσιν, ἀναιροῦντες γὰρ τὸ ἐξουσίαν ἔχειν τὸν ἄνθρωπον τῆς αἱρέσεώς τε καὶ πράξεως τῶν ἀντικειμένων, λέγουσιν ἐφ' ἡμῖν εἶναι τὸ γινόμενον καὶ δι' ἡμῶν. Ἐπεὶ γάρ, φασι, τῶν ὄντων τε καὶ γινομένων αἱ φύσεις, ἕτεραί τε καὶ διάφοροι, οὐ γὰρ αἱ αὐταὶ τῶν ἐμψύχων τε καὶ τῶν ἀψύχων, ἀλλ' οὐδὲ τῶν ἐμψύχων ἁπάντων αἱ αὐταὶ πάλιν, αἱ γὰρ κατ' εἶδος τῶν ὄντων διαφοραὶ, τὰς τῶν φύσεων αὐτῶν διαφορὰς δεικνύουσι, γίνεται δὲ τὰ ὑφ' ἑκάστου γινόμενα κατὰ τὴν οἰκείαν φύσιν, τὰ μὲν ὑπὸ λίθου κατὰ τὴν λίθου, τὰ δ' ὑπὸ πυρὸς κατὰ τὴν πυρὸς, καὶ τὰ ὑπὸ ζώου κατὰ τὴν ὑπὸ ζώου, οὐδὲν μὲν τῶν κατὰ τὴν οἰκείαν φύσιν ὑφ' ἑκάστου γινομένων, δύνασθαί φασιν ἄλλως ἔχειν, ἀλλ' ἕκαστον τῶν γινομένων ὑπ' αὐτῶν γίνεσθαι κατηναγκασμένως, κατ' ἀνάγκην οὐ τὴν ἐκ βίας, ἀλλ' ἐκ τοῦ μὴ δύνασθαι τὸ μὴ, πεφυκὸς, οὕτως ὄντων τῶν περιεστώτων τοιούτων, ὡς ἀδύνατον αὐτῷ μὴ περιεστάναι, καὶ ἀδύνατον τότε ἄλλως πως, καὶ μὴ οὕτω κινηθῆναι. Μή τε γὰρ τὸν λίθον, εἰ ἀπὸ ὕψους ἀφεθείη τινος, δύνασθαι μὴ φέρεσθαι κάτω, μηδενὸς ἐμποδίζοντος, τῷ βαρύτητα μὲν

ἔχειν

vero ſignificationem vocabulo Fortunæ ſubſtituentes, imponere auditoribus ſuis conantur, tanquam ipſi quædam a Fortuna fieri tuerentur. Sic etiam faciunt circa illud quod noſtræ poteſtatis dicitur: negantes enim hominem poteſtatem habere eligendi aut faciendi contraria, dicunt tamen id in noſtra poteſtate eſſe quod per nos aut concurſu noſtro fit. Cum enim, inquiunt eorum & quæ ſunt & quæ fiunt aliæ & aliæ ſunt naturæ (non enim eædem ſunt animatorum & inanimatorum naturæ, imo nec omnium animatorum, ſpecificæ enim earum differentiæ naturarum eorum differentias arguunt) omnia autem a ſingulis fiant ſecundum propriam cujuſque naturam, a lapide ſecundum lapidis, ab igne ſecundum ignis, ab animato ſecundum animati naturam, nihil ſane eorum quæ ſecundum propriam naturam a ſingulis fiunt, aliter ſe habere poſſe affirmant, ſed ſingula quæ fiunt neceſſario ab ipſis fieri, nec quidem ſecundum neceſſitatem quæ eſt per vim, ſed ex eo quod factum non potuerit non fieri, cum circumſtantiæ tales ſic diſponantur, ut impoſſibile ſit illi non habere tales circumſtantias, & impoſſibile ut ab iis alio quovis modo, & non ſic moveretur. Neque enim inquiunt, lapidem ſi e ſublimi mittatur, poſſe deorſum non ferri, ſi nihil impediat, ut qui gravitatem in ſe habeat cui talis motio ſecundum naturam competit, quandocunque externæ etiam cauſæ ad hanc naturalem motionem lapidi concurrentes adſint, ut ex neceſſitate ſic ut natus eſt ferri, feratur. Imo & cauſas has ei omnino ex neceſſitate adeſſe, per quas tunc movetur; non ita ſolum ut non poſſit his præſentibus non moveri, ſed & ita ut ex neceſsitate moveatur tunc, & ex Fato fiat talis motio per lapidem. Eodem etiam modo de cæteris concludunt, & ut in inanimatis res ſe habet, ſic etiam in animatis habere aiunt: eſſe enim aliquam animalibus naturalem motionem, eam nempe quæ fit ſecundum appetitum, omne enim animal, ut animal quod movetur, moveri ſecundum appetitum, motione quidem ex Fato per animal facta. Quæ cum ſic ſe habeant, & motiones & operationes omnes in mundo a Fato fiant, utpote per terram aliquæ, aliquæ per aerem, aliquæ per ignem, aliæ per aliud quidpiam, aliquæ vero etiam per animalia (tales autem ſunt motiones ſecundum appetitum) eas quæ per animalia fiunt, ex Fato in animalibus fieri dicunt: ac eodem modo ac alia omnia, quantum ad neceſſitatem attinet, cum externæ cauſæ ex neceſſitate etiam tunc debeant adeſſe, ita ut eadem animalia & ex

ἔχειν αὐτὸν ἐν αὐτῷ, ταύτην δ' εἶναι τῆς τοιαύτης κινήσεως κατὰ φύσιν, ὅταν καὶ τὰ ἔξωθεν αἴτια τὰ πρὸς τὴν κατὰ φύσιν κίνησιν τῷ λίθῳ συντελοῦντα παρῇ, ὡς ἐξ ἀνάγκης τὸν λίθον, ὡς πέφυκε, φέρεσθαι· πάντως δ' αὐτῷ καὶ ἐξ ἀνάγκης παρεῖναι ταῦτα τὰ αἴτια, δι' ἃ κινεῖται τότε. οὐ μόνον μὴ δυνάμενον μὴ κινεῖσθαι τούτων παρόντων, ἀλλὰ καὶ ἐξ ἀνάγκης κινεῖσθαι τότε, καὶ γίνεσθαι τὴν τοιαύτην κίνησιν ὑπὸ τῆς εἱμαρμένης, διὰ τοῦ λίθου. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος· ὡς δὲ ἐπὶ τῶν ἀψύχων ἔχει, οὕτως καὶ ἐπὶ τῶν ζώων ἔχειν φασίν. εἶναι γάρ τινα καὶ τοῖς ζώοις κίνησιν κατὰ φύσιν, ταύτην δ' εἶναι τὴν καθ' ὁρμήν, πᾶν γὰρ ζῶον ὡς ζῶον κινούμενον, κινεῖσθαι καθ' ὁρμὴν κίνησιν ὑπὸ τῆς εἱμαρμένης διὰ ζώου γινομένην. οὕτω δὲ τούτων ἐχόντων, καὶ γινομένων ὑπὸ τῆς εἱμαρμένης κινήσεών τε καὶ ἐνεργειῶν ἐν τῷ κόσμῳ, τῶν μὲν διὰ γῆς, ἂν οὕτω τύχῃ, τῶν δὲ δι' ἀέρος, τῶν δὲ διὰ πυρός, τῶν δὲ δι' ἄλλου τινός, γινομένων δέ τινων καὶ διὰ ζώων, (τοιαῦται δὲ αἱ καθ' ὁρμὴν κινήσεις) τὰς διὰ τῶν ζώων, ὑπὸ τῆς εἱμαρμένης γινομένας, ἐπὶ τοῖς ζώοις εἶναι λέγουσιν. ὁμοίως δὲ ὡς πρὸς τὸ ἀναγκαῖον τοῖς ἄλλοις γινομένας ἅπασι, τῷ δεῖν καὶ τοῖς ἐξ ἀνάγκης τὰ ἔξωθεν αἴτια παρεῖναι τότε, ὥς τε αὐτὰ τῇ ἐξ

ἑαυτῶν τε καὶ καθ' ὁρμὴν κίνησιν ἐξ ἀνάγκης οὕτω πως ἐνεργεῖν. ὅτι δὲ αὗται μὲν δι' ὁρμῆς τε καὶ συγκαταθέσεως, ἐκείνων δὲ αἱ μὲν διὰ βαρύτητα γίνονται, αἱ δὲ διὰ θερμότητα, αἱ δὲ κατ' ἄλλην τινά, ταύτην μὲν ἐπὶ τοῖς ζώοις λέγοντες, οὐκέτι δὲ ἐκείνων ἑκάστην τὴν μὲν ἐπὶ τῷ λίθῳ, τὴν δὲ ἐπὶ τῷ πυρί, καὶ τοιαύτη μὲν αὐτῶν ἡ περὶ τοῦ ἐφ' ἡμῖν δόξα, ὡς δι' ὀλίγων εἰπεῖν.

§. XIV. Ἔνεστι δ' ὁρᾶν εἰ ταῦτα λέγοντες, Σώζουσι τὰς κοινὰς ἐπὶ τοῦ ἐφ' ἡμῖν πάντων ἀνθρώπων προλήψεις. Οἱ γὰρ ἀπιστοῦντες αὐτοῖς πῶς οἷόν τε πάντων ὄντων καθ' εἱμαρμένην, τὸ ἐφ' ἡμῖν σώζεσθαι, οὐκ ὄνομα μόνον τοῦ ἐφ' ἡμῖν τιθέντες, τοῦτ' ἀπαιτοῦσιν, ἀλλὰ καὶ σημαινόμενον ἐκεῖνο τὸ αὐτεξούσιον. Διὰ γὰρ τὸ τοιοῦτον εἶναι τὸ ἐφ' ἡμῖν πεπιστεῦσθαι, ἐνθυμοῦσι τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντες, Οἱ δὲ ὅτι δέον αὐτοῖς μὴ σώζεσθαι λέγειν, καὶ τοῦ μὴ σώζεσθαι ζητεῖν τε καὶ παρέχεσθαι τὰς αἰτίας, ἐπεὶ τοῦτο ἑώρων παντάπασιν ἄδοξόν τε ὄν, καὶ πολλὰ τῶν παρ' αὐτοῖς λεγομένων περὶ τοῦ ἐφ' ἡμῖν

ſeipſis & motione ab appetitu facta, ex neceſſitate operentur. Quoniam vero animalium motiones per appetitum, & conſenſum fiunt, inanimatorum vero aliquæ per caliditatem, aliquæ per aliam aliquam cauſam, hinc fit ut cum iſtam in animalium poteſtate eſſe dicant, non tamen de ſingulis aliis idem affirment, hanc ſcilicet in lapidis hanc in ignis poteſtate eſſe; & taliter quidem ſe habet, ut breviter dicam, eorum de eo quod eſt in noſtra poteſtate ſententia.

§. XIV. Videndum autem eſt an qui hæc dicunt, communes omnium hominum perſuaſiones de eo quod in noſtra eſt poteſtate ſalvas tueantur. Qui enim ab iis quærunt quomodo defendi poſſit ſi omnia Fato fiant, aliquid in noſtra poteſtate eſſe, non ad nomen tantum reſpicientes hoc quærunt, ſed ad illud quod vocabulo hoc ſignificatur, ſcilicet Liberum arbitrium. Nam quia tale eſſe credunt id quod in noſtra poteſtate dicitur, ideo eos culpant qui Fato omnia fieri aiunt. Hi vero Fati aſſertores cum deberent concludere, non poſſe defendi aliquid eſſe in noſtra poteſtate, & cauſas exquirere & reddere, cur non poſſit defendi, cumque hoc viderent omnimodo improbabile eſſe, itemque multa a ſeipſis dicta de eo quod eſt in noſtra poteſtate, utque oſtenderent hoc ipſum cum doctrina de Fato conſentire, per æquivocationem putarunt auditoribus imponere, & effugere abſurda omnia, quæ eos, qui nihil in noſtra poteſtate eſſe dicunt, ſequuntur. Eos vero qui ſic loquuntur, merito quis primum interroget, quare cum aliud per alia a Fato fiat, & per propriam cujuſque naturam operetur Fatum, de aliis quibuſvis non affirment eſſe in eorum poteſtate, ſed ſolum de animantibus. Propter eaſdem enim rationes, quibus ducti affirmant in animalium poteſtate eſſe quæ per animalia fiunt, liceret etiam eadem de aliorum ſingulis dicere. Quia enim quæ ab animato fiunt, non alias fierent, niſi appetitu moveretur animal, eaque motio ab appetitu inde fiat, quod animal conſentiat, nec niſi conſentiat, fiat, hæc in animalis poteſtate eſſe dicunt, cum tamen ex neceſſitate ab eo fiant; non enim aliter quam fiunt, fieri potuere: cum autem non potuerint per alium quemvis, niſi per hunc fieri, neque alio modo quam hoc per illud, ideo ea in poteſtate animalis eſſe putant. Sed & hoc de aliorum ſingulis dicere licebat. Neque enim id quod ab igne fit, ab alio quovis fieri potuit, neque alio modo ab igne, niſi per calefactionem. Quare cum nec ali-

ἡμῖν ὡς ἄν τε ταὐτὸ δεικνύναι συνῳδεῦον τῷ τῆς εἱμαρμένης λόγῳ, διὰ τῆς ὁμωνυμίας παρακρούεσθαι τοὺς ἀκούοντας ἡγοῦνται, φεύγειν τε τὰ ἄτοπα, ὅσα ἕπεται τοῖς μηδὲν ἐφ' ἡμῖν εἶναι λέγουσιν. ταῦτα δὲ λέγοντας αὐτοὺς πρῶτον μὲν ἂν ἀπαιτῆσαι τις εὐλόγως, τί δή ποτε ἄλλου δι' ἄλλων γινομένου ὑπὸ τῆς εἱμαρμένης, καὶ διὰ τῆς οἰκείας φύσεως τῶν ὄντων ἑκάστου τῆς εἱμαρμένης ἐνεργούσης, ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς τὸ ἐπ' αὐτοῖς εἶναι κατηγοροῦσιν, ἐπὶ δὲ τῶν ζώων μόνον; δι' ἃ γὰρ λέγουσιν ἐπὶ τῶν ζώων τὰ διὰ τοῦ ζώου γινόμενα, ταῦτ' ἔνεστι καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν. ἐπεὶ γὰρ οὐκ ἄλλως γένοιτο τὰ διὰ τοῦ ζώου γινόμενα, μὴ ὁρμήσαντος τοῦ ζώου, ἀλλὰ διὰ τὸ συγκατατίθεσθαι μὲν τὸ ζῶον καὶ ὁρμῆσαι γίνεται, μὴ συγκατατιθεμένου δὲ οὐ γίνεται, ταῦτα ἐπὶ τῷ ζώῳ φασὶν εἶναι, ἐξ ἀνάγκης μὲν ἐσόμενα ὑπ' αὐτοῦ, οὐ γὰρ οἷόν τε ἄλλως, τῷ δὲ μὴ δύνασθαι δι' ἄλλου τινὸς, ἢ διὰ τούτου γίνεσθαι, μήδ' ἄλλως ἢ οὕτως διὰ τούτου, τῷ εἶναι αὐτὰ ἐπὶ τῷ ζώῳ οἰηθέντες. ἀλλὰ τοῦτο γε καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν ἐστίν. οὔτε γὰρ τὸ διὰ τοῦ πυρὸς γινόμενον ὑπ' ἄλλου τινὸς ἂν γένοιτο, οὔτ' ἄλλως διὰ τοῦ πυρὸς ἢ διὰ τοῦ θερμαίνειν. ὥς τ' ἐπεὶ μήδ' ἄλλως γένοιτο τὰ διὰ τοῦ πυρὸς γινόμενα, ἢ θερμαίνοντος τοῦ πυρὸς, καὶ θερμαίνοντος μὲν αὐτοῦ ἔσται, μὴ θερμαίνοντος δὲ οὐκ ἔσται, εἴη ἂν ἐπὶ τῷ πυρὶ ταῦτα. τὰ δ' αὐτὰ καὶ ὑφ' ἑκάστου τῶν ἄλλων ἔσται λέγειν. τί γὰρ δεῖ μακρολογεῖν, γεγονότος τοῦ λεγομένου γνωρίμου; ὀνομάτων μὲν οὖν οὐδεὶς φθόνος. τὸ δ' ἡγεῖσθαι πλέον τι τοῖς ζώοις διδόναι, ἐν τοῖς γινομένοις δι' αὐτῶν, παρὰ τ' ἆλλα δι' ὧν τί καὶ αὐτῶν γίνεται, μηδὲν πλέον τοῦ ἐπ' αὐτοῖς ὀνόματος τηροῦντας αὐτοῖς, τοῦτ' αὐτὸ ἀπατέον, ὡς αὐτῶν ἀπατωμένων, διὰ τὴν τοῦ ὀνόματος κοινωνίαν, ἢ ὡς τοῦ ἄλλους ἀπατᾶν προαιρουμένων. Ἐπὶ τούτῳ δὲ, ἐκεῖνο ἄν τις αὐτῶν θαυμάσειεν, τί παθόντες ἐν τῇ ὁρμῇ τε καὶ συγκαταθέσει τὸ ἐφ' ἡμῖν φασιν εἶναι, διὸ καὶ ὁμοίως ἐν πᾶσι τοῖς ζώοις τηροῦσιν αὐτό. οὐ γὰρ τὸ ἐφ' ἡμῖν, ἐν τῷ φαντασίας προσπεσούσης εἶξαι τε ἐξ ἑαυτῶν τῇ φαντασίᾳ καὶ ὁρμῆσαι ἐπὶ τὸ φανὲν, ἀλλὰ τοῦτο μὲν ἂν ἴσως εἴη τοῦ ἑκουσίου κατασκευαστικόν τε καὶ δεικτικόν. οὐ μὴν τ' αὐτὸ τό τε ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν. ἑκούσιον μὲν γὰρ, τὸ ἐξ ἀβιάστου γινόμενον συγκαταθέσεως, ἐφ' ἡμῖν δὲ τὸ γινόμενον μετὰ τῆς κατὰ λόγον τε καὶ κρίσιν συγκαταθέσεως· διὸ εἴ τι μὲν ἐφ' ἡ-

ter fiant quæ ab igne fiunt, quam calefactione, & calefaciente igne futura ſint, non autem calefaciente igne futura non ſint, hæc etiam erunt in poteſtate ignis. Eademque etiam de aliorum ſingulis dici poterit. Quid enim pluribus verbis opus eſt, cum id quod dicitur notiſſimum ſit? De vocabulis nemini litem infero. Cum autem amplius aliquid ſe animalibus tribuere putent in iis quæ per ea fiunt, quam rebus aliis per quas ipſas quicquam fit, cum tamen nihil amplius ipſis reſervent præter nomen, hoc certe in illis culpandum eſt, ut qui falluntur vocabuli homonymia, aut alios decipere intendunt. Hoc autem in illis miretur quivis, quare in appetitu & conſenſu poni libertatem arbitrii affirment, ideoque in omnibus animalibus eam ponant. Libertas enim noſtra non conſiſtit in eo quod cum aliquid appareat, nos ex nobiſipſis obſequamur ei quod apparet, & impetu feramur ad id quod apparet, ſed hoc forte argumentum erit quo confirmetur actionem eſſe ſpontaneam. Verum non idem eſt Spontaneum & Quod in poteſtate noſtra ponitur. Spontaneum enim eſt quod fit conſenſu non vi extorto: ſed quod in poteſtate noſtra eſt, fit per conſenſum rationi & judicio obſecutum. Ideoque ſi quid in poteſtate noſtra eſt, id ſane Spontaneum eſt, ſed non ſi quid ſpontaneum eſt, erit id etiam in noſtra poteſtate: ſponte enim agunt irrationalia etiam animalia, quæ ſecundum appetitum & conſenſum qui in ipſis eſt operantur, cum ſolius hominis proprium ſit ea quæ ab ipſo fiunt in ſua poteſtate habere. Hoc enim ad hominem pertinet qua rationalem, ut in ſe apparentiarum quæ ei obverſantur, & in univerſum faciendorum & non faciendorum, rationem judicem ſimul ac inventorem habeat. Quamobrem reliqua animalia quæ apparentiis ſolis obſequuntur, ab his habent conſenſuum & appetituum circa actiones, cauſas; Homo vero apparentiarum ipſi obverſantium ab extra rationem arbitrum habet, quid ſibi faciendum eſt, cujus ope earum ſingulas examinat, non ſolum an tales appareant quales apparent, ſed & an revera tales ſint: & ſi hac rationali inquiſitione aliud eſſe invenerit, quam quod apparet, non quia talis apparet, ideo eam eligit, ſed quia talis non eſt, qualis videtur eſſe, ei reſiſtit. Sic igitur ab iis ſæpenumero quæ dulcia apparent abſtinet, quamvis eorum deſiderio trahatur; quia ratio ei quod videtur non concinit, ut & quædam quæ utilia apparent declinat, quia rationi ſic viſum eſt: Si

μῖν, τοῦτο καὶ ἑκούσιον, οὐ μὴν πᾶν τὸ ἑκούσιον ἐφ' ἡμῖν· ἑκουσίως μὲν γὰρ καὶ τὰ ἄλογα ζῶα, ὅσα κατὰ τὴν ὁρμήν τε καὶ συγκατάθεσιν τὴν ἐν αὐτοῖς ποιεῖ· τὸ δὲ ἐπ' αὐτῷ πιθῆναι τῶν γινομένων ὑπ' αὐτοῦ, ἴδιον ἀνθρώπου. τοῦτο γάρ ἐστιν αὐτῷ τὸ εἶναι λογικῷ, τὸ ἔχειν ἐν αὑτῷ λόγον τῶν προσπιπτουσῶν φαντασιῶν καὶ ὅλως τῶν πρακτέων τε καὶ μὴ, κριτήν τε καὶ εὑρετήν. διὸ τὰ μὲν ἄλλα ζῶα εἴκει ταῖς φαντασίαις μόναις, κατ' αὐτὰς ἔχει τῶν συγκαταθέσεών τε καὶ τῶν κατὰ τὰς πράξεις ὁρμῶν αἰτίας, ὁ δὲ ἄνθρωπος ἔχει τῶν προσπιπτουσῶν ἔξωθεν αὐτῷ φαντασιῶν, περὶ τῶν πρακτέων, κριτὴν τὸν λόγον, ᾧ χρώμενος ἑκάστην αὐτῶν ἐξετάζει, μὴ μόνον εἰ φαίνεται τοίαυτη ὁμοία φαίνεται, ἀλλὰ καὶ εἰ ἔστι· κἂν εὕρῃ ζητῶν κατὰ τὸν λόγον ἀλλοῖον αὐτῆς τοῦ φαίνεσθαι τὸ εἶναι, οὐ διότι τοιάδε τις φαίνεται συνεχώρησεν αὐτῇ, ἀλλ' ὅτι μὴ καὶ ἔστι τοιαύτη, ἐνίσταται πρὸς αὐτήν. οὕτω γοῦν καὶ ἡδέων τινῶν φαινομένων πολλάκις ἀπέχεται, καίτοι ἔχων ὄρεξιν αὐτῶν, ὅτι μὴ τὸν λόγον ἔχε τῷ φαινομένῳ συνᾴδοντα· ὁμοίως δὲ καὶ συμφέροντα φανέντα τινὰ παρῃτήσατο, ὅτι τῷ λόγῳ τοῦτο δόξαν.

εἰ δὲ τὸ ἐφ' ἡμῖν ἐστὶ ἐν τῇ λογικῇ συγκαταθέσει, ἥ τις διὰ τοῦ βουλεύεσθαι γίνεται, οἱ δὲ ἐν τῇ συγκαταθέσει τε καὶ ὁρμῇ φασιν εἶναι, ὅτι καὶ ἀλόγως γίνεται, δῆλοι δι' ὧν λέγουσι, ῥᾳθυμότερον περὶ τοῦ ἐφ' ἡμῖν διαλαμβάνοντες, ὅτι ὅ, τι ποτ' ἐστιν αὐτῷ οὔτε ἔν τινι γίνεται, λέγουσιν. Τὸ γὰρ εἶναι λογικὸν οὐδὲ ἄλλο ἐστι, ἢ τὸ ἀρχὴν πράξεων εἶναι. ὡς γὰρ ἄλλως ἄλλῳ τὸ εἶναι, τῷ μὲν ζώῳ ἐν τῷ ὁρμητικῷ, τῷ δὲ πυρὶ ἐν τῷ θερμῷ τε καὶ θερμαντικῷ, ἄλλῳ δὲ ἐν ἄλλῳ, οὕτω δὲ τῷ ἀνθρώπῳ τῷ λογικῷ, ὃ ἴσον ἐστὶ, τῷ ἐν αὐτῷ ἀρχὴν ἔχειν, τοῦ καὶ ἕλεσθαί τι καὶ μή. καὶ τὸ αὐτὸ ἄμφω, ὥστε ὁ τοῦτο ἀναιρῶν ἀναιρεῖ τὸν ἄνθρωπον. ἐοίκασι δὲ παραλελοιπότες τὸν λόγον, ἐν τῇ ὁρμῇ τὸ ἐφ' ἡμῖν τίθεσθαι. ὅτι μηκέτ' ἐν τῷ βουλεύεσθαι λέγουσιν αὐτοῖς τὸ ἐφ' ἡμῖν εἶναι, προχωρεῖ τὸ σόφισμα. ἐπὶ μὲν γὰρ τῆς ὁρμῆς ἔχουσι λέγειν, τὸ ἐπὶ τοῖς ζώοις εἶναι τὰ γινόμενα καθ' ὁρμὴν, ὅτι μὴ οἷά τε χωρὶς ὁρμῆς τὰ δι' αὐτῶν γινόμενα ποιεῖν. εἰ δ' ἐν τῷ βουλεύεσθαι τὸ ἐφ' ἡμῖν, ἔνθεν οὐκέτ' αὐτοῖς εἵπετο τὸ μὴ δύνασθαι τὰ δι' ἀν-

θρώπου

Si autem libertas arbitrii in rationali approbatione ſita ſit, quæ conſultando fit, hi vero & in aſſenſu & in appetitu poſitam affirment, quoniam & ſine ratione fit, manifeſtum ex his eorum dictis eſt, eos de eo quod in noſtra poteſtate eſt, magis quam decet ſupine diſſerere: neque enim vel quid demum ſit, vel in quo verſetur exponunt. Eſſe enim rationale, nihil aliud eſt, quam actionum principium eſſe. Ut enim aliorum eſſentia in alio aliquo conſiſtit, animalis in motione ex appetitu, ignis in calido ſimul ac potentia calefaciendi, & ſic in aliis, ſic & hominis in rationis participatione, quæ idem valet, ac principium in ſeipſo habere vel aggrediendi aliquid, vel non. Hæc enim duo idem ſunt, ſic ut qui hoc abſtulerit, hominem auferat. Hi vero (qui contra libertatem arguunt) rationem plane omiſiſſe videntur, ut libertatem in appetitus motione ponant. Cum enim non amplius dicant in conſultativa facultate poni libertatem noſtram, fallacia procedit. Nam de motione ab appetitu dicere poſſunt, ea quæ ex ea motione fiunt eſſe in animalium poteſtate, quia non poſſunt ſine appetitu ea quæ fiunt ab ipſis, facere. Sed ſi libertas noſtra in conſultando verſetur, non amplius exinde conſequens foret, ea quæ ab homine fiunt, non poſſe aliter fieri; quia homo licet aptus ad conſultandum, non tamen omnia quæ per eum fiunt, conſulto facit: non enim omnia quæ facimus, ex conſilio facimus, ſed ſæpenumero quidem opportunitas non concedit tempus ut faciamus ea quæ ad conſultationem neceſſaria ſunt, ideoque ſine conſultatione quædam facimus. Sæpenumero etiam hoc ob ignaviam, aut aliam quamvis cauſam accidit. Si vero quædam ex conſilio, quædam ſine conſilio a nobis fiant, non jam locus erit dicendi ea quæ ex conſilio fiunt in hominis poteſtate eſſe, quia aliter nihil per hominem fieri poſſet. Nam ſi quædam cum conſilio facimus, quædam ſine conſilio, non jam ea quæ per nos fiunt, ita ſimpliciter fiunt ut quæ fiunt per animalia, aut per ignem, aut per gravia duo corpora. Quod ſi a natura poteſtatem habemus quædam ex conſultatione faciendi, manifeſtum etiam eſt poteſtatem nos habere, aliud aliquid ex conſilio faciendi & non aliud præciſe, quod per conſultationem facere ſtatuimus.

§. XV. Illud vero quod aiunt, ſi cum eædem plane ſint circumſtantiæ, unus ſic, alter alio modo operetur, ex eo induci motum cujus nulla eſt cauſa, ideoque neminem

θρώπου γινόμενα ἄλλως γίνεσθαι, τῷ τὸν ἄνθρωπον ὄντα βουλευτικὸν, μὴ πάντα τὰ γινόμενα δι' αὐτοῦ, βουλευόμενον ποιεῖν· οὐ γὰρ πάντα ἃ ποιοῦμεν βουλευσάμενοι ποιοῦμεν, ἀλλὰ πολλάκις μὲν οὐ συγχωροῦντος τοῦ καιροῦ τῶν πραχθῆναι δεόντων τῷ βουλεύσασθαι χρόνον, καὶ μὴ βουλευσάμενοί τινα ποιοῦμεν. πολλάκις δὲ καὶ δι' ἀργίαν, ἢ τινα ἄλλην αἰτίαν. οἱ δὲ τὰ μὲν βουλευσαμένων ἡμῶν, τὰ δὲ καὶ μὴ βουλευσαμένων γίνεται, οὐκέτι χώραν ἔχει τὸ λέγειν, τὸ τὰ διὰ τοῦ βουλεύεσθαι γινόμενα ἐπὶ τῷ ἀνθρώπῳ εἶναι, τῷ μὴ δύνασθαι ἄλλως τι δι' αὐτοῦ γίνεσθαι. ὡς τ' οἱ τὰ μὲν βουλευσάμενοι, τὰ δὲ μὴ βουλευσάμενοι, ποιοῦμεν, οὐκ ἔθ' οὕτως τὰ δι' ἡμῶν γινόμενα, ἁπλῶς γίνεται, ὡς τὰ γινόμενα διὰ τῶν ζώων, ἢ διὰ τοῦ πυρὸς, ἢ διὰ τῶν βαρέων δύο σωμάτων. οἱ δ' ἔχομεν καὶ τοῦ βουλευσάμενοί τι ποιεῖν παρὰ τῆς φύσεως τὴν ἐξουσίαν, δῆλον ὡς ἔχοιμεν ἐξουσίαν καὶ τοῦ διὰ τοῦ βουλεύσασθαι ἀλλό τι πρᾶξαι, καὶ μὴ πάντως τοῦτο, ὃ καὶ βουλευσάμενοι ἦν ἂν βουλοίμεθα.

§.XV. Τὸ γὰρ ὑποχουμένων τῷ εἴδει τῶν αὐτῶν περιεστώτων, ὅτε μὲν οὕτως ὅτε δὲ ἄλλως ἐνεργήσει τις, ἀναίτιον κίνησιν εἰσάγεσθαι, διὰ τοῦτο λέγειν μὴ δύνασθαι,

τὸ

οὐ πράξει τις πρᾶξαι τὸ ἀντικείμενον, μήποτε καὶ αὐτὸ τῶν ὁμοίως τοῖς προειρημένοις προηγουμένων; οὐ γὰρ πάντως ἀεὶ τὰ γινόμενα κατὰ αἰτίαν ἔξωθεν ἔχει τοῦ γίνεσθαι τὴν αἰτίαν, διὰ γὰρ τὴν τοιαύτην ἐξουσίαν, ἔστι τὶ ἐφ᾽ ἡμῖν, ὅτι τῶν οὕτω γινομένων ἡμεῖς ἐσμεν κύριοι. ἀλλ᾽ οὐκ ἔξωθεν τὶς αἰτία. διὸ ἀναιτίως τὰ οὕτω γινόμενα γίνεται, παρ᾽ ἡμῶν τὴν αἰτίαν ἔχοντα. ὁ γὰρ ἄνθρωπος ἀρχὴ καὶ αἰτία τῶν δι᾽ αὐτοῦ γινομένων πράξεων, καὶ τοῦτό ἐστι τὸ εἶναι ἀνθρώπῳ, τὸ τοῦ πράττειν οὕτως τὴν ἀρχὴν ἔχειν ἐν αὑτῷ, ὡς τῇ σφαίρᾳ τὸ κατὰ τοῦ πρανοῦς κυλιομένῃ φέρεσθαι. διὸ τῶν μὲν ἄλλων ἕκαστον ἕπεται ταῖς ἔξωθεν αὐτῷ περιεστώσαις αἰτίαις, ὁ δ᾽ ἄνθρωπος οὐχ, ὅτι ἐστὶν αὐτῷ τὸ εἶναι ἐν τῷ ἔχειν ἀρχήν τε καὶ αἰτίαν ἐν αὑτῷ, μὴ πάντως ἕπεσθαι τοῖς περιεστῶσιν ἔξωθεν αὐτῷ. καὶ γὰρ ἡμῖν ἡ περὶ τῶν πρακτέων κρίσις, πρὸς ἕνα γινομένη σκοπὸν, ἴσως εἶχέ τινα λόγον τὸ ἀεὶ περὶ τῶν αὐτῶν ὁμοίως ἡμῖν γίνεσθαι τὰς κρίσεις. ἐπεὶ δ᾽ οὐχ οὕτως ἔχει, (αἱρούμεθα γὰρ ἃ αἱρούμεθα, ποτὲ μὲν διὰ τὸ καλόν τι, ποτὲ δὲ διὰ τὸ ἡδὺ, ποτὲ δὲ διὰ τὸ συμφέρον, καὶ οὐ ταὐτὰ τούτων ποιητικὰ) ἐνδέχεται νῦν μὲν ἐπὶ τὸ καλὸν κινηθέντας ἡμᾶς τά-

minem ejus quod fecerit, contrarium potuiſſe facere, nonne etiam hic error eſt prædictis par? Non enim ſemper ea quæ per cauſam fiunt, externam, cur fiant, cauſam habeat: propter talem enim poteſtatem dicitur aliquid eſſe in noſtra poteſtate, quod eorum quæ ſic fiunt nos domini ſimus, non externa aliqua cauſa. Quare quæ hoc reſpectu nullam cauſam habent, a nobis tamen cauſam cur fiant habent. Homo enim principium & cauſa eſt actionum quæ per ipſum fiunt, & hoc eſt eſſe hominem, principium in ſe habere agendi taliter, ſicut hoc eſt eſſe globum, in declivi volutatum ferri. Quapropter alia ſingula exteriores cauſas ipſa obſidentes ſequuntur, non autem homo, quia eſſentia ejus conſiſtit in eo quod habeat principium & cauſam in ſeipſo, non autem in eo, quod ſequatur ea quæ eum extrinſecus obſident. Si enim noſtrum de agendis judicium ad unum ſcopum dirigeretur, cum aliqua ratione dici poteſt, ſimilia nobis de iiſdem, conſtanter judicia eſſe. Nunc vero cum ſecus res ſe habeat (quæ enim eligimus, aliquando propter honeſtum, aliquando autem propter voluptatem, aliquando propter utilitatem eligimus, & hæc non ſunt effectiva eorundem) fit ut aliquando ad honeſtum incitati hæc omnibus quæ nobis proponuntur præferamus ; interdum alia , cum ad delectabile aut utile judicium verterimus. Ut enim ulteriorem aliquam cauſam non requirimus, propter quam terra ſecundum gravitatem quæ ei ineſt, deorſum feratur, aut ob quam quæ facit animal, ex appetitu facit, cum unumquodque eorum ex ſeipſo cauſam hanc ad ea quæ fiunt conferat, natura tale exiſtens : ſic neque in iis quæ a nobis alio tempore aliter fiunt ſub aliis circumſtantiis, alia cauſa requirenda eſt, præter ipſum hominem: Hoc enim erat hominem eſſe, principium ſcilicet & cauſam eſſe actionum quæ per ipſum fiunt. Si quis autem dicat etiam eos qui conſultarunt ei quod apparet conſentire, ideoque phantaſiam, æque ac alia animalia, ſequi, illud verum non eſt, neque enim phantaſia eſt omnis apparentia. Phantaſia enim ſimplex & ſine ratione, fit ab iis quæ nos extrinſecus feriunt, ſenſitivis operationibus ſimilis, quapropter in animalibus irrationalibus vim potiſſimum exerit. At apparent etiam aliqua quæ per rationem, vel per fallacem diſcurſum, cauſam quod ſic appareant, habent, qualia nemo phantaſias dixerit. Qui enim propter diſcurſum quem in conſultando habet, quidvis approbat, ipſe ſibi approbationis auctor eſt.

§ XVI.

δὲ τῶν περιεστώτων προκείμενα, αὖθις δὲ ἄλλα, πρὸς τὸ ἡδὺ ἢ τὸ συμφέρον τὴν ἀναφορὰν τῆς κρίσεως ποιουμένοις. ὡς γὰρ οὐ ζητοῦμεν ἄλλην τινὰ αἰτίαν δι' ἣν κατὰ βαρύτητα τὴν ἐν αὐτῇ ἡ γῆ φέρεται κάτω, ἢ δι' ἣν αἰτίαν ἃ πράσσει τὸ ζῶον, πράσσει καθ' ὁρμὴν, τῷ ταύτην ἕκαστον αὐτῶν τὴν αἰτίαν ἐξ αὑτοῦ πρὸς τὰ γινόμενα συντελεῖν, τοιοῦτον ἔχον τὴν φύσιν, οὕτως οὐδ' ἐπὶ τῶν ὑφ' ἡμῶν ἄλλοτ' ἄλλως γινομένων ἐπὶ περιεστῶσι τοῖς ἄλλοις ἄλλην τινὰ αἰτίαν ἀπαιτητέον, παρ' αὐτὸν τὸν ἄνθρωπον. τοῦτο γὰρ ἦν τὸ ἀνθρώπῳ εἶναι, τὸ γὰρ ἀρχὴ καὶ αἰτία εἶναι τῶν δι' αὐτοῦ γινομένων πράξεων. τὸ δὲ λέγειν καὶ τοῖς βουλευσαμένοις τῷ φαινομένῳ συγκατατίθεσθαι, καὶ διὰ τοῦτο καὶ τὴν φαντασίαν ὁμοίως τοῖς ἄλλοις ζώοις ἕπεσθαι, οὐκ ἀληθές· οὐ γὰρ φαντασία τὸ φαινόμενον πᾶν. ἡ μὲν γὰρ φαντασία ἁπλῆ τε καὶ χωρὶς λόγου ὑπὸ τῶν ἔξωθεν προσπιπτόντων γίνεται, ἐοικυῖα ταῖς αἰσθητικαῖς ἐνεργείαις, διὰ καὶ τὴν ἰσχὺν ἐν τοῖς ἀλόγοις ζώοις ἔχει μάλιστα. φαίνεται δέ τινα, καὶ διὰ λόγου τε καὶ παρασυλλογισμοῦ τὴν αἰτίαν τοῦ φαίνεσθαι λαμβάνοντα, ἃ οὐκέτ' ἄν τις φαντασίας λέγοι. ὁ γὰρ διὰ τὸν γινόμενον παρ' αὐτῷ ἐν τῷ βουλεύεσθαι συλλογισμὸν, συγκαταθέμενός τινι, αὐτὸς αὐτῷ τῆς συγκαταθέσεως αἴτιος.

§.XVI. Ἀλλ' ὅτι μὲν οὔτε σώζουσι τὸ ἐφ' ἡμῖν, οἱ λέγοντες πάντα καθ' εἱμαρμένην, (οὐ γὰρ περὶ οὗ ζητοῦμεν, εἰ σώζεται κατ' αὐτοὺς, τοῦτο σώζεσθαι, οἷς γε καὶ αἰτίαν ἀποδιδόναι πειρῶνται, τοῦ μὴ δὲ τὴν ἀρχὴν δυνατὸν εἶναι τὸ πρᾶγμα, οὐδὲ ἣν ἀποδιδόασιν αἰτίαν ἐπ' ἀναιρέσει τῆς τοιαύτης ἐξουσίας, ἀληθὴς, μὴ ἔχουσά τι εὔλογον,) ἐκ τῶν εἰρημένων γνώριμον. Ἀλλὰ μὴν τοῖς ἀναιροῦσι τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν, ἕπεται τὸ συγχεῖν τε καὶ ἀνατρέπειν, ὅσον ἐπ' αὐτοῖς, τὸν τῶν ἀνθρώπων βίον. Εἰ γὰρ ἐχόντων μὲν οὕτω τῶν πραγμάτων ὡς ἔχει, οὐδὲ γὰρ αὐτόν τινα πεῖσαι δυνατὸν μὴ πράττειν ἃ πράττουσιν, ὡς ἔχοντα τοῦ καὶ πράττειν αὐτὰ καὶ μὴ πράττειν τὴν ἐξουσίαν, μήτι γε τῶν ἄλλων τινά. τοσαύτην ἡμῖν ἔχει τ' ἀληθὲς, καὶ τὴν παρὰ τῶν γινομένων μαρτυρίαν ἐναργῆ. εἰ δὲ τούτων οὕτως ἐχόντων, ἡμῖν αὐτῶν ἡ δόξα τοσαύτην λάβοι, ὡς πάντας ἀνθρώπους πιστεῦσαι, ὅτι ἡμεῖς μὲν οὐδενὸς κύριοι, ἑπόμενοι δὲ ταῖς περιεστῶσιν ἀεὶ, τούτοις ἐνδιδόντες τε καὶ συγκατατιθέμενοι, καὶ πράττομέν τε ἃ πράττομεν τῷ πάντως ὀφείλειν ταῦτα πράττειν, (μὴ γὰρ εἶναι δυνατὸν ἡμῖν, ὄντων τῶν περιεστώτων τοιούτων, ἄλλο τι ποιεῖν) οὐ πράττομέν τε πάλιν ὁμοίως, διὰ τὸ μὴ δύνασθαι ἀντιβαίνειν ταῖς περιεστῶσιν οὖσι τοιούτοις, τι

ἄλλο

§. XVI. Quod autem illi qui omnia Fato fieri aſſerant, libertatem arbitrii non retineant (neque enim concedendum illud integrum retineri, de quo quæſtio inter nos eſt an retineant, præſertim cum ipſi cauſam reddere conentur quod prorſus impoſſibile ſit, neque vera ſit cauſa illa quam reddunt, cur talem poteſtatem tollant, ſed probabilitate omni careat) manifeſtum eſt ex iis quæ dicta ſunt. Qui vero ſic a nobis libertatem arbitrii auferunt, conſequens eſt ut etiam vitam hominum, quantum in ipſis eſt, confundant & pervertant. Nam rebus ſic ſe habentibus, neque eorum cuivis perſuadere poſſibile eſt ut non faciat quæ facit, ut qui poteſtatem habeat faciendi vel non faciendi, neque quidem cuivis alteri. Tantam vim habet veritas, & a rebus ipſis evidens teſtimonium. Quod ſi iſtis ita ſe habentibus eam vim acquirat opinio eorum, ut ab omnibus fidem obtineat, nos nullius actionis dominos eſſe, at ſequi ea quæ nos circumſtant, his nos dedentes, & aſſentientes, facereque ea quæ facimus ideo quod debeamus ea facere, (non enim poſſibile eſſe nobis cum tales circumſtantiæ adſint, aliud quicquam facere) & ſimiliter alia non facere, quia impoſſibile eſt reſiſtere, poſitis talibus circumſtantiis, Quid ex hinc aliud eventurum eſt, quam ut omnes homines propter hanc perſuaſionem, ea quidem valere jubeant, quæ labore aliquo aut cura conſtant, voluptates vero cum ignavia conjunctas eligant, ut qui cum ea omnino futura ſint quæ fieri debent, nihil ab ipſis boni reportaturi ſint. Cum igitur ſic diſpoſiti fuerint homines, cumque actiones his eorum ſententiis conſectaneæ ſint, (non enim propter falſitatem opinionis ipſorum aliter ſe res habituræ ſunt, quam habent) quid aliud futurum eſt, quam quædam univerſalis honeſtarum rerum negligentia? (Talium enim omnium acquiſitio & poſſeſſio labore conſtat) approbatio vero malorum, ut quæ ſine labore & cum voluptate fiant. Ad quos quæ demum dicturi ſunt ii quorum ſententiis perſuaſi ad iſta devenerunt? Ad eos enim non immerito ſiquando ipſos culpaverint, dicturi ſunt, impoſſibile fuiſſe ut ipſi circumſtantiis talibus poſitis aliud quippiam facerent. Quomodo autem jure eos reprehenſuri ſunt ii, qui per hæc dogmata ipſos ſic facere docuerint? Imo potius neque objurgationes, neque ſupplicia, neque exhortatio, neque laus, neque aliud hujus generis quippiam naturam ſuam ex eorum ſententia retinebit: ſed & horum ſingula ex neceſſitate factum

ἄλλο ἢ συμβήσεται ἂν πάντας ἀνθρώποις διὰ τὴν τοιάνδε πίστιν, τὰ μὲν ὅσα μετὰ πόνου τινὸς καὶ φροντίδος γίνεται, τούτοις μὲν χαίρειν λέγειν, αἱρεῖσθαι δὲ τὰς μετὰ ῥᾳστώνης ἡδονάς; ὡς πάντως ἐσομένων τῶν ὀφειλόντων γενέσθαι, μηδὲν αὐτοὶ περὶ αὐτῶν ὦσι καλόν. οὕτω δ᾽ αὐτῶν διακειμένων, καὶ τῶν πραττομένων ἀκολουθούντων ταῖς αἱρέσεσιν αὐτῶν, (οὐ γὰρ δὲ διὰ τὴν περὶ αὐτῶν ἐψευσμένην πίστιν ἄλλως πως ἕξει τὰ πράγματα, ὡς ἔχει) ἄλλό τι, ἢ τῶν μὲν καλῶν παρὰ πάντων ὀλιγωρία τις ἔσται; (πάντων γὰρ ἡ κτῆσίς τε καὶ παρουσία τῶν τοιούτων, μετὰ καμάτου περιγίνεται) τῶν δὲ κακῶν αἵρεσις, ἅτε γινομένων μετὰ ῥᾳστώνης τε καὶ ἡδονῆς. περὶ οὗ τίς ἂν παρὰ τούτων εἴη λόγος, ὧν πεισθέντες τοῖς δόγμασι ἦλθον ἐπὶ ταῦτα; λέγοιεν ἂν γὰρ δικαίως πρὸς αὐτοὺς, εἰ αἰτιῶντο αὐτοὺς, ὅτι μὴ οἷόν τε ἦν αὐτοῖς, τῶν περιεστώτων ὄντων τοιούτων, ἀλλοῖόν τι πράττειν. οἷς πῶς ἐπιτιμήσουσιν εὐλόγως οἱ διὰ τῶν δογμάτων τούτων αὐτοῖς διδάσκαλοι γεγονότες; μᾶλλον δὲ οὔτε ἐπιτιμήσεις, οὔτε κολάσεις, οὔτε προτροπὴ, οὔτε τιμὴ, οὔτ᾽ ἄλλό τι τῶν τοιούτων τὴν οἰκείαν σώσει κατ᾽ αὐτοὺς φύσιν, ἀλλ᾽ ἔσται καὶ τούτων ἕκαστον γινόμενον κατἠναγκασμένους, ὥσπερ κἀκεῖνα, ἐφ' οἷς ταῦτα γίνεται. Πῶς γὰρ ἔτι Ἀλέξανδρος ὁ Πριάμου ἐν αἰτίᾳ εἴη, ὡς διαμαρτὼν περὶ τὴν τῆς Ἑλένης ἁρπαγήν; πῶς δ' ἂν Ἀγαμέμνων εὐλόγως αὑτοῦ καταψηφίζοιτο, λέγων, Οὐδ' αὐτὸς ἀναίνομαι; εἰ μὲν γὰρ εἶχεν ἐξουσίαν ὑπεριδεῖν ἢ Ἀλέξανδρος τῶν τότε προεστώτων αὐτὸν παρακαλούντων ἐπὶ τὴν ἁρπαγὴν, ἢ Μενέλαος τῶν ἀγανακτεῖν ἐπαιρόντων, ἢ Ἀγαμέμνων ἐφ' οἷς ὡς ἀναμάρτητος αὐτοῦ κατατρέχει, εὐλόγως ἂν ἦσαν ἐν αἰτίᾳ. εἰ δὲ τὴν πάλαι καὶ πρόπαλαι, καὶ πρὸ τοῦ τὴν ἀρχὴν τινὰ αὐτῶν γενέσθαι, ἀληθὲς, περὶ ἑκάστου προλεγόμενον τούτων ἕκαστον, ἐφ' οἷς ποιήσας εὐθύνεται, πῶς ἂν ἔτ' αὐτῶν τῶν γινομένων τὴν αἰτίαν ἔχοιεν; πῶς δέ τις ἐξηγήσεται, καὶ τὸ ἐφ' ἡμῖν εἶναι τάς τε ἀρετὰς καὶ κακίας; εἰ γὰρ οὕτως, ἔτι δι' ἡμᾶς, πῶς ἔτ' ἂν εὐλόγως, οἱ μὲν ἦσαν ἐν ἐπαίνοις, οἱ δὲ ἐν ψόγοις; οὐδὲν γὰρ ἀλλ' ἢ συνηγορείαν τοῖς κακοῖς τὸ δόγμα τοῦτο προξενεῖ. ὁρῶμεν γ' οὖν τῶν μὴ ἀγαθῶν τε καὶ καλῶν πράξεων ἕνεκα τὴν εἱμαρμένην, οὐδὲ τὴν ἀνάγκην αἰτιωμένους, τούς τε κακοὺς δι' ἐκείνην τοιούτους εἶναι λέγοντας. οἱ πιστεύσαντες καὶ τοὺς φιλοσόφους λέγειν, πῶς οὐ μετὰ παρρησίας αὐτοί γε ἐπὶ ταῦτα ἐλεύσονται, τούς τε ἄλλους προτρέψουσιν;

Πῶς

ctum erit, ut & ea quibus hæc accidunt. Quomodo enim Alexander Priami filius ulterius culpandus erit, ut qui circa Helenæ raptum peccaverit? Quomodo Agamemnon ſeipſum condemnaverit, dicens, Non ipſe negaverim? ſi enim Alexander poteſtatem habuerit rejiciendi ea quæ eum circumambientia ad rapinam incitabant, aut ſi Menelaus ea quæ ad iram eum impellebant, aut Agamemnon ea de quibus ſe ut nocentem accuſant, jure quidem culpandi fuerant: ſi vero olim, & priuſquam olim, & antequam quiſquam ipſorum prorſus fieret, unumquodque horum quæ de quolibet ipſorum prædiximus, & de quibus reprehenſi ſunt qui ea faciebant, verum fuerit, qua quæſo ratione ab ea reprehendi poterant? Et quomodo quiſpiam explicabit in noſtra poteſtate eſſe virtutes & vitia? Si enim ita per nos fiant, quo demum jure quidam laudandi, quidam vituperandi erunt? Nihil enim niſi malis patrocinium hæc ſententia procurat. Videmus igitur bonas & pulchras actiones Fato aut neceſſitati a nemini imputari, Malos vero ſe tales eſſe dicere ex vi Fati; quod cum a Philoſophis etiam dici crediderint, quomodo non confidenter & ipſi ad talia procedent, & alios hortebuntur?

§. XVII. Quomodo autem & qui hæc docent, Deorum de rebus humanis curam aut Providentiam tueri poterunt ? Si enim Deorum apparitiones quas quibuſdam contigiſſe aiunt propter aliquam prius jactam cauſam factæ ſint, ſic ut antequam eorum quivis natus ſit, verum fuerit hunc quidem Diis curæ fore, illum non, quomodo quiſquam hoc Providentiam jure appellet, cum non ſecundum aliquod meritum fiat, ſed propter prius jactam aliquam neceſſitatem ? Quomodo etiam defendi poterit eos erga Deos pios eſſe qui pii eſſe videntur, cum non ſit in poteſtate eorum ea quæ faciunt non facere ? Quomodo autem plus illi quam alii a Diis quibus hoc fecerunt conſequentur, cum & horum principia antequam ipſi patifecerint, prius jacta ſunt ? Quomodo etiam & divinatio non auferetur, ſublata utilitate omni quæ in divinatione exurgat ? Quid enim diſcere a vatibus, vel propter quid hoc diſcere curet aliquis, ſi ea ſola aut nos diſcere ab illis, aut illi nobis indicare poſſent, quorum unumquodque diſcere nos & facere, aut non facere ante nativitatem noſtram neceſsitatis lege ſtatutum eſt ? Neque enim in noſtra poteſtate eſt poſitum, ut ea quæ a Diis nobis prænuntiantur obſervemus, cum & horum

§.XVII Πῶς δ' ἂν σώζοιεν τοιαῦτα λέγοντες τὴν ὑπὸ τῶν θεῶν γινομένην τῶν θνητῶν πρόνοιαν; εἰ γὰρ αἵ τε τῶν θεῶν ἐπιφάνειαι, αἵ φασι γίνεσθαί τισι, κατά τινα γίνονται προκαταβεβλημένην αἰτίαν, ὡς περὶ τοῦ γενέσθαί τινα αὐτῶν ἀληθὲς εἶναι τὸ, τοῦδε μὲν ἔσεσθαί τινα ἐκ θεῶν κηδεμονίαν, τοῦδε δὲ μὴ, πῶς ἂν ἔτι τοῦτο, πρόνοιάν τις δικαίως λέγοι, τὴν οὐ κατ' ἀξίαν γινομένην, ἀλλὰ κατά τινα ἀνάγκην προκαταβεβλημένην; πῶς δ' ἂν σώζοιτο καὶ ἡ πρὸς τοὺς θεοὺς εὐσέβεια τῶν εὐσεβεῖν δοκούντων; διότι μὴ ἐπ' αὐτοῖς ἦν, τὸ τοῦτο μὴ ποιεῖν οὕτω ποιούντων. γίνοιτο δ' ἂν καὶ παρὰ τῶν θεῶν εἰς οὓς γίνεταί τι παρὰ τοὺς ἄλλους πλέον, ὅτι καὶ τούτων ἦσαν αἱ ἀρχαὶ καὶ περὶ τοῦ τούτοις εἶναι προκαταβεβλημέναι; Πῶς δ' οὐκ ἀναιρεῖ ἂν καὶ μαντικὴν, τῆς ἀπὸ μαντικῆς χρείας ἀναιρουμένης; τί γὰρ ἂν ἢ μαθεῖν, ἢ διὰ τὸ μαθεῖν παρὰ τῶν μάντεων φυλάξασθαι ἄν τις, εἰ μόνα ταῦτα ἡμῖν τε μαθεῖν, ἐκείνοις τε μηνῦσαι δυνατὸν, ὧν τοῦ μαθεῖν ἡμᾶς καὶ ποιῆσαι ἢ μὴ ποιῆσαί τι, ἕκαστον ἦν καὶ πρὸ τῆς ἡμετέρας γενέσεως κατηναγκασμένον, τοῦ τε ἐμμένειν τοῖς ὑπὸ τῶν θεῶν προαγορευομένοις οὐχ ἡμεῖς κύριοι, τῷ τῶν ἐσομένων ὑφ' ἡμῶν προκαταβεβλῆσθαι τὰς αἰτίας.

§. XVIII. Ἀλλ' ὅτι μὲν τὸ δόγμα τοῦτο ἀνατροπῆς αἴτιον πάντως τοῦ τῶν ἀνθρώπων βίου, πάντη που μαθεῖν ῥᾴδιον. ὅτι δὲ καὶ ψεῦδος, ἱκανὸν μαρτύριον, τὸ μηδ' αὐτοὺς τοὺς προστάτας αὐτοῦ δύνασθαι πείθεσθαι τοῖς ὑφ' αὐτῶν λεγομένοις. οὕτω γὰρ ἐν πᾶσι τοῖς λόγοις φυλάσσουσι τὸ ἐλεύθερον εἶναι, καὶ αὐτεξούσιον, ὡς μὴ ἀκούσαντές ποτε παρ' ἄλλου τοιούτου τινὸς δόγματος, τοῦτο δὲ προτρέπειν τινὰς πειρώμενοι, ὡς τοῦ τε ποιεῖν ἢ μὴ ποιεῖν τοῦτο τὴν ἐξουσίαν ἔχοντες αὐτοί, καὶ τῶν προτρεπομένων διὰ τοὺς παρ' αὐτῶν λόγους αἱρεῖσθαί τινα δυναμένων, ὧν ἔπραξαν ἂν τἀναντία, τῶν σιωπώντων. τοῦτο δὲ ἐπιτιμῶντες καὶ ἐπιπλήττοντες τισίν, ὡς οὐ τὰ προσήκοντα πράττουσιν. ἀλλὰ καὶ συγγράμματα πλείω καταλείπουσί τε καὶ συγγράφουσιν, δι' ὧν ἀξιοῦσι παιδεύεσθαι τοὺς νέους, οὐχ ὡς κεκωλυμένοι τοῦτο συγγράφειν διὰ τὸ τὰ προεστῶτα αὐτοῖς εἶναι τοιαῦτα, ἀλλ' ὡς ὄντες μὲν ἐπ' αὐτοῖς συγγράφειν τε καὶ μή, αἱρούμενοι δὲ τὸ γράφειν διὰ φιλανθρωπίαν.

§. XIX. Ἐπαύσαντο δ' ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας καὶ συγχωρήσαιντο εἶναι τὸ ἐφ' ἡμῖν ἐλεύθερόν τε καὶ αὐτεξούσιον, καὶ

rum quæ per nos futura ſunt cauſæ prius jactæ ſint.

§. XVIII. Sed & ſententiam hanc pervertendæ univerſæ hominum vitæ cauſam eſſe, facile quiſpiam diſcat. Quod autem & falſa ſit, ex hinc ſatis manifeſtum teſtimonium deducitur, quod patroni ejus ab iis quæ ipſi dicunt perſuaderi nequeant. Sic enim in omnibus ſermonibus Libertatem, & Id quod in noſtra poteſtate eſt tuentur, tanquam a nemine unquam tale aliquod dogma audierint; Partim dum hortari alios conantur, ut qui & poteſtatem habeant ipſi faciendi hoc aut non faciendi, & tanquam ii qui admonentur, poſſint quædam eligere per ſermones eorum, quorum contraria facturi erant iis ſilentibus; Partim dum reprehendunt & objurgant aliquos, tanquam ea quæ non decet facientes. Sed & libros plurimos relinquunt a ſe conſcriptos, quibus liberos inſtruere cupiunt, non ut qui ab hoc ſcribendo impediantur, ex eo quod talibus obſideantur circumſtantiis, ſed quia in ipſorum eſt poteſtate ſcribere vel non, ſcribere vero eligant ex amore generis humani.

§. XIX. Abſtinerent vero ab hoc contentioſo ſcribendi genere, & concederent eſſe in nobis libertatem, & poteſtatem, &

dominium & eligendi & faciendi contraria, quicunque & a privatis & a legiſlatoribus crediti fuerint ex circumſtantiis rei geſtæ juſti, fieri. Nempe cum quis dignus ſit ut ei ignoſcatur ex eo quod involuntarie aliquid fecerit, non in rem ipſam definita pœna; ſed in actionis modum. Quod quidem nec alius quivis nec ipſi hi, ut non recte inſtitutum, culpaturi ſunt. Quare autem aut ex ignorantia aut vi peccantibus minus digni eſſent venia ii, qui cum ſciant quid agant, non tamen in ſe poteſtatem habent, ſub talibus circumſtantiis, quas etiam ex neceſſitate iis adeſſe oportet, aliud quicquam præter id quod faciunt faciendi, ideo quod talis ſit eorum natura, ſitque ſecundum propriam ipſorum naturam quod ſingula faciant, quæ ex Fato faciunt, pari modo quo ponderoſis deſuper demiſſis, naturale eſt ferri deorſum, & globoſis cum de declivi mittantur, a ſe moveri. Simile enim hoc eſſet, ac ſi quis equum puniendum putaret, quod non ſit homo; & ita ſingula alia animalia, quod hanc, & non aliquam præſtantiorem animam habuerint. Sed ne Phalaris adeo ſævus & amens fuit, ut ob ea quæ hunc in modum fiunt, quenquam puniret. In quibus igitur rationi conſentaneæ ſunt pœnarum exactiones, &

non

κύριον, τῆς τῶν ἀντικειμένων αἱρέσεώς τε καὶ πράξεως, ἐπὶ περιεστῶσιν ἄνθρωποι δίκαιοι γίνεσθαι πεπεισμένοι, ὁμοίως ἰδιώταις τε καὶ νομοθέταις. δῆλον δὲ τοῦτο, τὸ συγγινώσκεσθαι μὲν ἀξίους εἶναι, τοὺς ἀκουσίως τοιοῦτόν τι πράξαντας, οὐχ ὡς ἐπὶ τῷ γινομένῳ πράγματι τῆς κολάσεως ὁριζομένης, ἀλλ' ἐπὶ τῷ τρόπῳ τῆς πράξεως. ὅπερ οὔτε τῶν ἄλλων τις, οὔτε αὐτῶν τούτων, ὡς οὐ καλῶς ἔχον, αἰτιᾶται. καί τοι τι τῶν δι' ἄγνοιαν πραττομένων ἁμαρτανόντων ἢ βίᾳ, ἧττον ἂν εἶεν συγγνώμης ἄξιοι, εἰδότες μὲν ἃ πράττουσιν, οὐκ ἔχοντες δὲ ἐν αὐτοῖς τὴν ἐξουσίαν, τούτων αὐτοῖς περιεστώτων, ἃ πάντως αὐτοῖς καὶ ἐξ ἀνάγκης περιεστάναι δεῖ, ἀλλ' ὅτι παρ' ἃ πράττουσι, τῷ τὴν φύσιν αὐτῶν εἶναι τοιαύτην, καὶ ἔστι τὸ κατὰ τὴν οἰκείαν αὐτοῖς φύσιν ἕκαστα πράττειν, ὧν πράττουσι καθ' εἱμαρμένην, ὡς τοῖς βαρέσιν ἀφεθεῖσιν ἄνωθεν, τὸ φέρεσθαι κάτω, καὶ τοῖς περιφερέσι τὸ κατὰ τοῦ πρανοῦς, εἰ ἀφεθεῖεν ἀφ' αὐτοῦ, κινεῖσθαι. ὅμοιον γὰρ τὸ τοῦ τὸν ἵππον κολάζειν ἀξιοῦν, ὅτι μὴ ἔστιν ἄνθρωπος, καὶ τῶν ἄλλων ζώων ἕκαστον, ὅτι ταύτης τῆς ψυχῆς καὶ μὴ βελτίονος τετυχήκασί τινος. ἀλλ' οὐδεὶς Φάλαρις οὕτως ὠμός τε καὶ ἀνόητος, ὡς ἐπί τινι τῶν οὕτω γινομένων κολάζειν τὸν ποιήσαντα. ἐπὶ τίσιν οὖν αἱ κολάσεις ἄλογοι,

οὐκ

ὐκ ὑπ᾽ ἄλλαις τισὶν ἢ ἐπὶ ταῖς παρὰ τὴν αὐτῶν μοχθηρὰν αἵρεσιν γινομένοις. ἐφ᾽ ὧν γὰρ αὐτοὶ τὴν ἐξουσίαν τῆς αἱρέσεως ἔχοντες, καταλιπόντες τὸν σκοπὸν τῶν προστεταγμένων ὑπ᾽ αὐτοῦ ποιεῖσθαι τό τι καλὸν καὶ τὸν νόμον, κέρδους χάριν, ἢ ἡδονῆς τινος, ὑπερορῶντες ἀμείνων, πράττουσι τὰ φαῦλα, τούτοις ἀξίοις ἡγοῦνται κολάσεως πάντες ἄνθρωποι, συγγνώμην διδόντες τοῖς οὐχ οὕτως ἁμαρτάνουσιν. ὅρα δὴ πᾶσι τοῖς κακοῖς, τὸ θαυμαστὸν δόγμα τοῦτο παρὰ τῶν φιλοσόφων μαθοῦσιν, διδάσκειν τοὺς δικάζοντας, ὅτι εἰσὶ καὶ αὐτοὶ συγγνώμης ἄξιοι οὐδὲν ἔλαττον, τῶν ἀκουσίως ἁμαρτανόντων. οὐ γὰρ ὑπό τινος ἔξωθεν καταναγκάζοντος αὐτοὺς, ποιοῦσιν, ὧν ἴσως ἐξῆν αὐτοῖς καὶ φυλάξασθαι. ἀλλ᾽ ὑπὸ τῆς φύσεως τῆς ἐν αὐτοῖς, οὐδὲν οἷόν τ᾽ ἐστὶ παθόντας ποιῆσαι, ἥτος οὖν αὐτοῖς τοῖς ἁμαρτανομένοις αἴτιος. εἰ δ᾽ οὖν ἄλλος τις οὐδ᾽ οὗτοι δόγματος τούτου κύριοι συγγνώμην δοῖεν τινὶ, ταύτην τῶν ἁμαρτανομένων φέροντι τὴν αἰτίαν, ὡς ψευδός τε καὶ ψευδῆ λέγοντι, δῆλον ὡς ὑπὸ τούτων καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων, ὁμοίως πεπίστευται, τὸ εἶναι τὸ ἐφ᾽ ἡμῖν, οὐχ οἷον ὑπὸ τούτων πλάττεται, ὅταν εἰς τὸ πρόβλημα μελετῶντες λέγωσιν, ἀλλ᾽ οἷον

non in aliis? In iis quæ per hominum malignam electionem fiunt, Quicunque enim in quibus eligendi poteſtatem habent, propoſitum ſibi agendorum ſcopum (ut ſcilicet ea faciant quæ ſunt honeſta, & a lege præcepta) reliquerint, & lucri aut voluptatis alicujus gratia, ea deſpicientes, perpetraverint prava, hos omnes homines pœna dignos exiſtimant, cum tamen iis qui tali modo non peccaverint, veniam dent. Vide autem ut malis omnibus, qui hoc ſtupendum dogma a philoſophis diſcunt, inſtillent magiſtri hi, quod & ipſi non minus venia digni ſunt, quam qui inviti peccaverint. Non enim, inquiunt, ex aliqua vi eos extrinſecus cogente faciunt quæ faciunt, cum forte in eorum poteſtate fuerit ab iis caviſſe. Sed a natura quæ in ipſis eſt, nihil poſſibile eſt latenter fieri, Quæ igitur illis quidem peccandi cauſa erit? Si vero neque alius quivis, neque hi ipſi hujus ſententiæ authores cuiquam veniam daturi ſint, qui hanc delictorum cauſam adſeret, ut qui mendacium, idque mendaciter diceret, Manifeſtum eſt hoc apud illos, ut & apud omnes alios in confeſſo eſſe, quod ſit aliquid in noſtra poteſtate. Non qualiter ab illis fingitur, cum de problemate hoc declamatorie diſſerant, ſed qualiter

ab

ab illis intelligi debere, & hi ipſi & omne homines factis teſtantur. Si enim ren ita ſe habere crederent, omnibus quiden peccantibus veniam darent, ut qui nor habeant poteſtatem non faciendi omnia qua faciunt.

§. XX. Quod vero ſit aliqua in nobi poteſtas, & non quicquam propter poteſtatem hanc ſine cauſa fiat, ex eo quo eorum quæ ſic fiunt homo ſit cauſa, u qui ipſe principium ſit eorum quæ ab ipſ fiunt, quæ dicta ſunt ſufficienter demonſtrant. Satis etiam hoc ipſis perſuaſum eſ qui contradicere conantur, qui omnia fe re quæ faciunt facere non ſuſtinerent, ſ verum in his, de quibus diſſerunt, dicerent, id eſt, ſi crederent nihil eorum qua a quibuſvis fiunt ſic fieri, ut non tun temporis habeant poteſtatem illud non faciendi: ſi enim hoc ſemel creditum fuerit impoſſibile erit quenquam laudare, cuivis conſulere, exhortari quenquam, Dii vota facere, iis gratias de beneficiis quibuſvis referre, aut aliud quidvis facere eorum quæ jure fieri debeant ab iis qui ſ ſingula quæ faciunt faciendi poteſtatem habere crediderint. Sed & ſine his non eſſet vitalis hominum vita, neque prorſu humana.

§. XXI. Sed nec illud ſine examine

nobi

εἶναι αὐτῷ δεῖν, διὰ τῶν ἔργων οὗτοί τε αὐτοὶ καὶ πάντες ἄνθρωποι μαρτυροῦσιν. εἰ γὰρ ἦσαν οὕτως ἔχειν πεπιστευκότες, συνεγίνωσκον ἂν πᾶσι τοῖς ἁμαρτάνουσιν, ὡς οὐκ ἔχουσι τοῦ μὴ πάντα πράττειν ἐξουσίαν.

§. XX Ἀλλ' ὅτι μὲν ἔστι τις ἐφ' ἡμῖν ἐξουσία, καὶ οὐ διὰ τὴν ἐξουσίαν ταύτην ἀναιτίως τι γίνεται, τῷ τῶν οὕτω γινομένων αἴτιον τὸν ἄνθρωπον εἶναι, ἀρχὴν αὐτὸν ὄντα τῶν γινομένων ὑφ' αὑτοῦ, ἱκανὰ μὲν δεῖξαι καὶ τὰ εἰρημένα. ἱκανῶς δ' ἂν ἐπείσθησαν καὶ οἱ ἀντιλέγειν πρὸς αὐτὸ πειρώμενοι, οἳ μὴ ἂν πάντα πρὸς ὀλίγον ἃ πράττουσιν ὑπέμειναν πρᾶξαι, ὡς ἀληθεύοντες περὶ ὧν λέγουσιν, πεπεισμένοι τῷ μηδὲν τῶν γινομένων, ὑπό τινων οὕτως γίνεσθαι, ὡς καὶ τοῦ μὴ πράττειν αὐτὸ τὴν ἐξουσίαν ἔχοντες τότε. τῷ γὰρ τοῦτο πεπιστευμένῳ, οὐκ ἐπιτιμῆσαί τινι, οὐκ ἐπαινέσαι τινά, οὐ συμβουλεῦσαί τινι, οὐ προτρέψασθαί τινα, οὐκ εὔξασθαι θεοῖς, οὐ χάριν αὐτοῖς γνῶναι περί τινων, οὐκ ἄλλο τι ποιεῖν οἷόν τε τῶν ὀφειλομένων εὐλόγως γίνεσθαι ὑπὸ τῶν καὶ τοῦ ποιεῖν ἕκαστον ὧν ποιοῦσι τὴν ἐξουσίαν πεπιστευκότων. ἀλλὰ μὴν ἔξω τούτων, ἀβίωτος ὁ τῶν ἀνθρώπων βίος, καὶ οὐδὲ τῆς ἀρχῆς ἀνθρώπων ἔτι.

§. XXI Μηδὲ ἐκεῖνο δὲ ἡμῖν ἀνεξέταστον πα-

συλλελείφθω, εἴ τις ὑποτίθοιτο μηδὲν μ
λον ἀληθὲς εἶναι τὸ εἶναί τι οὕτως
ἡμῖν, ὡς ἡμεῖς τε ἀξιοῦμεν καὶ ἡ
πραγμάτων φύσις ἔχειν μαρτυρεῖ,
πάντα ἐξ ἀνάγκης τε γίνεσθαι καὶ κ
εἱμαρμένην, ἀλλ᾽ εἶναι ἐπίσης ἑκάτερ
ἢ πιστὸν ἢ ἄδηλον αὐτὸ, πότερα δ᾽
πείθεσθαι τοῖς ἀνθρώποις ἀσφαλέστερόν
καὶ ἀκινδυνότερον, καὶ ποῖον ψεῦδ
αἱρετώτερον, πότερον, τὸ πάντων γιν
μένων καθ᾽ εἱμαρμένην, τὰ μὴ οὕτως
χειν ὑπολαμβάνειν, ἀλλ᾽ εἶναι καὶ ἡμ
τοῦ τι πρᾶξαι, ἢ μὴ πρᾶξαι κυρίους,
ὄντος τινὸς καὶ ἐφ᾽ ἡμῖν, οὕτως ὡς πρ
ειρήκαμεν, πεπεῖσθαι τὸ τοῦτο μὲν ψε
δος εἶναι, πάντα δὲ καὶ τὰ ὑφ᾽ ἡμ
πραττόμενα κατὰ τὴν ἡμετέραν ἐξουσ
αν γίνεσθαι κατηναγκασμένως· ὁ γα
ειμαι, ὅτι οἱ μὲν ἁπάντων γινομένω
καθ᾽ εἱμαρμένην, αὐτοὺς πείθοντες,
ἐξουσίαν ἔχοντας τινῶν, τοῦ τε πράττε
αὐτὰ καὶ μὴ, οὐδὲν ἂν παρὰ τήνδε τὴν πίσ
ἐν τοῖς πραττομένοις, ἁμάρτοιεν; τ
μηδὲ τὴν ἀρχὴν τῶν γινομένων τινὸς ὑ
αὐτοῖς εἶναι κύριοι. ὥσθ᾽ ὁ κίνδυνος τῆς κατὰ τοῦτ
διαμαρτίας πρόεισι μέχρι ῥημάτων. οἱ δὲ γ
ὄντος τινὸς καὶ ἐφ᾽ ἡμῖν, καὶ μὴ πάντων γινο
μένων ἐξ ἀνάγκης, πεισθέντες μὲν μηδενὸς
ὄντας κυρίους, πολλὰ παραλείποιμεν τῶν δεόν
των ἂν πραχθέντων ὑφ᾽ ἡμῶν, καὶ διὰ τὸ βου

λεύσασθ

nobis omittendum eſt. Si quis ſupponat nihilo verius eſſe, quicquam in noſtra poteſtate eſſe (ut & nos putamus, & rerum natura ſic ſe habere teſtatur) quam ex neceſſitate & ſecundum Fatum fieri omnia, ſed eſſe utrumque æque aut probabile aut incertum, utri demum ſententiæ aſſentiri hominibus tutius ſit, & minus periculoſum, & utrum mendacium eligibilius ſit, nempe ſi omnia Fato fiant, illud non credere, ſed exiſtimare nos aliquid agendi aut non agendi dominos eſſe, an, ſi aliquid revera in noſtra poteſtate ſit, ut diximus, illud falſum eſſe credere, omnia vero etiam ea quæ a nobis fiunt ſecundum poteſtatem noſtram, fieri ex neceſſitate: Nonne manifeſtum eſt eos qui ſi omnia Fato fiant, ſibi tamen perſuadent ſe poteſtatem habere quædam faciendi aut non faciendi, nihil interim ex hac perſuaſione peccaturos eſſe in rebus agendis, quia ſcilicet nullius rei ab iis commiſſæ ipſi unquam domini fuerint? Quare ſi quod periculum in eo errore ſit, id intra verba conſiſtit. At vero ſi aliter ſe res habeat, & aliquid ſit noſtræ poteſtatis, nec cuncta fiant inevitabiliter, & nos credamus nullius actionis nos eſſe dominos, Multa ex hinc omiſſuri ſumus, quæ a nobis fieri debent, & quæ facta fuerant, tum de iis conſultando, tum labores in iis faciendis alacriter tolerando, cum nos ad ea per nos facienda ignaviores facti ſimus ex eo quod credamus ſine cura noſtra circa res agendas futurum id quod fieri oportuit. His igitur ſic ſe habentibus manifeſtum eſt eligibilius eſſe ſapientiæ ſtudioſis ut & ipſi præferant, & ut aliis monſtrent viam hanc quæ a periculis remotior ſit.

§. XXII. His vero prius perſpectis, non abs re erit, ſi & ea quæ ipſi de Fato dicunt proponamus, viſuri an talem aliquam vim habeant, ut rationi conſonum ſit, propter eorum cum veritate affinitatem, ea quæ adeo manifeſta fuerint, deſpicere. Loquemur vero de his, quantum ad propoſitum noſtrum utile fuerit. Aiunt vero hi mundum cum ſit unus, & omnia in ſe entia comprehendat, ſimulque a natura & animali & rationali & intellectiva adminiſtretur, æternam rerum omnium gubernationem in ſe habere, ſecundum ſeriem aliquam & ordinem antecedentem, ſic ut priora poſteriorum cauſæ ſint, & hoc modo ſibi invicem devinciantur omnia, nec quicquam ſic in eo fiat, ut non aliud quippiam ipſi omnino conſequens ſit, & ut cauſæ connexum, nec quicquam eorum quæ poſterius fiunt, ab antecedentibus

λάσασθαι περὶ αὐτῶν, καὶ διὰ τοῦ τοὺς ἐπὶ τοῖς πραττομένοις καμάτους προθύμως ὑφίστασθαι, ἀργότεροι γινόμενοι, πρὸς τὸ δι' αὑτῶν τι ποιεῖν, διὰ τὴν πίστιν, τοῦ καὶ μηδὲν ἡμῶν πραγματευομένων περὶ τῶν πρακτέων, τὸ ὄφειλον γενέσθαι. οὕτω δὲ τούτων ἐχόντων, πρόδηλον ὡς αἱρετώτερον τοῖς φιλοσοφοῦσι τὴν ἀκινδυνοτέραν ὁδὸν αὐτούς τε αἱρεῖσθαι, καὶ τοὺς ἄλλους ἄγειν.

§.XXII Οὐ χεῖρον δὲ τούτων προτεθεωρημένων, καὶ αὐτὰ τὰ περὶ τῆς εἱμαρμένης ὑπ' αὐτῶν λεγόμενα προθεμένους, ἰδεῖν εἴ τινα τοιαύτην ἔχοι βίαν, ὡς ἄλογον εἶναι, διὰ τὴν πρὸς τὸ ἀληθὲς οἰκειότητα, καὶ τῶν ἐναργῶν οὕτως ὑφορᾶν. ἔσται δὲ, ἡμῖν καὶ ὁ περὶ τούτων λόγος ἐπὶ τοσοῦτον, ἐφόσον ἐστὶ χρήσιμος πρὸς τὰ προκείμενα. φασὶ δὴ τὸν κόσμον τόνδε ἕνα ὄντα, καὶ πάντα τὰ ὄντα ἐν αὐτῷ περιέχοντα, καὶ ὑπὸ φύσεως διοικούμενον ζωτικῆς τε, καὶ λογικῆς, καὶ νοερᾶς, ἔχειν τὴν τῶν ὄντων διοίκησιν ἀΐδιον κατὰ εἱρμόν τινα καὶ τάξιν προϊοῦσαν, τῶν πρώτων τοῖς μετὰ ταῦτα γινομένοις αἰτίων γινομένων, καὶ τούτῳ τῷ τρόπῳ συνδεδεμένων ἁπάντων ἀλλήλοις, καὶ μήτε οὕτω τινὸς ἐν αὐτῷ γινομένου, ὡς μὴ πάντως ἐπακολουθεῖν αὐτῷ καὶ συνῆφθαι ὡς αἰτίῳ ἕτερόν τι, μήτ' αὖ τῶν ἐπιγινομένων τινὸς ἀπολελύσθαι δυναμένου τῶν προγεγονότων, ὡς καί τινι ἐξ αὐτῶν ἐπακολουθεῖν ἄλλο συνδεόμενον, ἀλλὰ παντί τε τῷ γινομένῳ ἕτερόν τι ἐπακολουθεῖν ἠρτημένον αὐτοῦ ἐξ ἀνάγκης ὡς αἰτίου, καὶ πᾶν τὸ γινόμενον ἔχειν τι πρὸ αὐτοῦ, ᾧ ὡς αἰτίῳ συνήρτηται· μηδὲν γὰρ ἀναιτίως μήτε εἶναι μήτε γίνεσθαι τῶν ἐν τῷ κόσμῳ, διὰ τὸ μηδὲν εἶναι τῶν ἐν αὐτῷ ἀπολελυμένον τε καὶ κεχωρισμένον τῶν προγεγονότων ἁπάντων. διασπᾶσθαι γὰρ καὶ διαιρεῖσθαι, καὶ μηκέτι τὸν κόσμον ἕνα μένειν ἀεὶ, κατὰ μίαν τάξιν τε καὶ οἰκονομίαν διοικούμενον, εἰ ἀναίτιός τις εἰσάγοιτο κίνησις, ἣν εἰσάγεσθαι, εἰ μὴ πάντα τὰ ὄντα τε καὶ γινόμενα ἔχει τινὰ αἴτια προγεγονότα, οἷς ἐξ ἀνάγκης ἕπεται. ὅμοιόν τε εἶναι φασὶ καὶ ὁμοίως ἀδύνατον τὸ ἀναιτίως, τῷ γίνεσθαί τι ἐκ μὴ ὄντος. τοιαύτην δὲ οὖσαν τὴν τοῦ παντὸς διοίκησιν ἐξ ἀπείρου εἰς ἄπειρον ἐνεργῶς τε καὶ ἀκαταστρόφως γίνεσθαι. οὔσης δέ τινος διαφορᾶς ἐν τοῖς αἰτίοις, ἣν ἐκτιθέντες, [Μηδὲν ἀναίτιον] καταλέγουσιν, τὰ μὲν προκαταρκτικὰ, τὰ δὲ συναίτια, τὰ δὲ ἑκτικὰ, τὰ δὲ συνεκτικὰ, τὰ δὲ ἄλλο τι, (οὐδὲν γὰρ δεῖ τὸν λόγον μηκύνειν εἰς πάντα τὰ λεγόμενα, παρατιθεμένοις τὸ βούλημα αὐτῶν δεῖξαι τοῦ περὶ τῆς εἱμαρμένης δόγματος) ὄν-

tibus diſſolvi poſſit, ut non alicui ex iis conſequatur, ut cum eo conjunctum, ſed omnino ei quod ſit aliud aliquod conſequens ſit, ab eo ex neceſſitate dependens, ut ex cauſa, & omne quod ſit aliquid ante ſe habeat, cui ut cauſa connexum ſit. Nihil enim eorum quæ in mundo ſunt, ſine cauſa aut eſſe aut fieri, quia nihil ſolutum, & ſeparatum præcedentibus omnibus: Diſſipari enim & dividi, nec jam manere mundum, conſtanter unum, uno ordine ac œconomia gubernatum, ſi motio aliqua, quæ cauſam non habet, inducatur; induci autem eam, ſi non omnia quæ ſunt & fiunt cauſas aliquas præcedentes habeant, quas ipſa neceſſario ſequantur. Simile etiam eſſe aiunt, & æque impoſſibile, eſſe aliquid ſine cauſa, ac eſſe aliquid ex non ente. Talis autem cum ſit univerſi adminiſtratio, eam aiunt ex infinito in infinitum efficaciter & inevitabiliter fieri. Cum vero diverſæ ſint cauſæ, ut in explicatione dicti hujus [Nihil ſine cauſa eſt] affirmant, quædam principales, quædam ſociæ, quædam habituales, quædam comprehenſivæ, quædam aliter nuncupatæ (nihil enim opus eſt ſermonem protrahere ad omnia quæ dicuntur, cum propoſitum nobis ſit oſtendere quid ſibi velit eorum de Fato doctrina) cum inquam, plures ſint cauſæ, de ſingulis earum ex æquo verum eſſe dicunt, impoſſibile eſſe, ut cum omnes eædem circumſtantiæ ſint, & circa cauſam & circa id cujus cauſa eſt, aliquando quidem non ſic contingat, aliquando ſic: Fore enim, ſi ita fiat, motionem aliquam ſine cauſa. Fatum vero ipſum, & naturam, & rationem, per quam univerſum adminiſtratur, Deum eſſe aiunt, exiſtentem in omnibus quæ ſunt & fiunt, & ita utentem propria omnium entium natura ad univerſi gubernationem. Et talis eſt, ut breviter dicam, ſententia eorum de Fato.

§. XXIII. Cujus falſitas non verbis aut refutationibus ab extra allatis indiget, ſed ex ſeipſa manifeſta eſt. Quæ enim verborum convictio manfeſtior afferri poteſt, quam quod non conveniant iis de quibus dicuntur. Quod igitur primo dicunt de cauſis videlicet eorum quæ ſunt, & quibuſdam eas ſequentibus, iiſque eo modo ad invicem implicatis, ut in Hac catena, ſecunda a primis pendeant (in quo quidem Fati eſſentiam poſitam exiſtimant) quam clare ab ipſis rebus diſcordat? Si enim filiorum cauſæ ſint parentes, & ſecundum proprietatem cujuſque exquirendæ ſint cauſæ, ſic ut homo hominis, equus equi ſit cauſa, cujuſnam quæſo, eorum

τῶν δὲ πλειόνων αἰτίων, ἐπίσης, ὅτι πάντων αὐτῶν ἀληθές φασιν εἶναι τὸ ἀδύνατον εἶναι, τῶν αὐτῶν ἁπάντων περιεστηκότων περὶ τὸ αἴτιον, καὶ ᾧ ἐστιν αἴτιον, ὅτε μὲν δὴ μὴ οὕτω συμβαίνειν, ὅτε δὲ οὕτως. ἔσεσθαι γάρ, εἰ οὕτω γίγνοιτο, ἀναίτιόν τινα κίνησιν. τὴν δὲ εἱμαρμένην αὐτήν. καὶ τὴν φύσιν, καὶ τὸν λόγον, καθ᾽ ὃν διοικεῖται τὸ πᾶν, θεὸν εἶναι φασίν, οὖσαν ἐν τοῖς οὖσί τε καὶ γινομένοις ἅπασιν, καὶ οὕτω χρωμένην ἁπάντων τῶν ὄντων τῇ οἰκείᾳ φύσει πρὸς τὴν τοῦ πάντος οἰκονομίαν. καὶ τοιαύτη μέν, ὡς διὰ βραχέων εἰπεῖν, ἡ περὶ τῆς εἱμαρμένης ὑπ᾽ αὐτῶν καταβεβλημένη δόξα.

Ἔστι δὲ τὸ ψεῦδος τῶν λεγομένων οὐ λόγων τινῶν, οὐδὲ ἐλέγχων ἔξωθεν δεόμενον, ἀλλ᾽ αὐτόθεν γνώριμον. τίς γὰρ ἔλεγχος λόγου φανερώτερος τοῦ μὴ ἐφαρμόζειν τούτοις περὶ ὧν λέγεται. τὸ γοῦν πρῶτον εἰρημένον, ὥσπερ τῶν τῶν ὄντων αἰτίων τινῶν γινομένων μετὰ ταῦτα καὶ τοῦτον τὸν τρόπον ἐχομένων ἀλλήλων τῶν πραγμάτων, τὴν δίκην ἀλύσεως τοῖς πρώτοις συνηρτῆσθαι τὰ δεύτερα, ὃ ὥσπερ οὐσίαν τῆς εἱμαρμένης ὑποτίθενται, πῶς ἀπᾴδει τῶν πραγμάτων; εἰ γὰρ τῶν τέκνων οἱ πατέρες αἴτιοι, καὶ δεῖ κατ᾽ οἰκειότητα τὰς αἰτίας ἀπαιτεῖν, ὡς ἀνθρώπου μὲν ἄνθρωπον αἴτιον εἶναι, ἵππου δὲ ἵππον, τίνος αἴτιοι §.XXIII

τῶν μετ' αὐτοὺς, οἱ τὴν ἀρχὴν μηδὲ γήμαντες; τίνος δ' οἱ παῖδες οἱ πρὸ τῆς ἡλικίας διαφθαρέντες; πολλὰ γὰρ τῶν γινομένων ὑπὸ τῆς κατὰ τὸ πόσον ἐλλείψεως, ἢ μὴ κινηθέντα, ἢ φθαρέντα πρότερον, οὐδενὸς ἔφθη γενόμενα, τῷ κατὰ τὴν ὑπάρχουσαν δύναμιν αὐτοῖς, αἴτια. τίνος δὲ ἐρροῦσιν αἴτια τὰ ἔν τισι μέρεσι τοῦ σώματος φυόμενα περιττώματα; τίνος δὲ τὰ τέρατά τε, καὶ γινόμενα παρὰ φύσιν; ἃ τὴν ἀρχὴν οὐδὲ διαμένειν οἷά τε. εἰ δ' ὁ μὲν φλοιὸς ἐν τοῖς φυτοῖς ἕνεκα τοῦ περικαρπίου, τὸ δὲ περικάρπιον τοῦ καρποῦ χάριν, καὶ ἀρδεύεται μὲν ἵνα τρέφηται, τρέφηται δὲ ἵνα καρποφορῇ, ἀλλ' ἔστι γε πολλὰ ἐν αὐτοῖς εὑρεῖν, καὶ μὴ τοῦτον γινόμενα τὸν τρόπον. τίνος γὰρ ἄν τις εἴποι τὰ σεσηπότα, καὶ τὰ ξηρὰ τῶν καρπῶν αἴτια τοῖς μετὰ ταῦτα; τίνος δὲ τῶν φύλλων διδυμότητα; ἐξ ὧν φανερὸν τοῖς ὁρᾶν τἀληθῆ βουλομένοις τε καὶ δυναμένοις, ὅτι ὥσπερ οὐ πάντα δυνατὸν ἐνεργεῖν, οὕτως οὐδὲ πᾶν ὃ ἂν γένοιτο αἴτιον, καὶ ἔστιν αἴτιον ἤδη, ἢ γέγονεν, ἢ γενήσεται; ἀλλ' οὐδὲ πᾶν τὸ γεγονὸς εὐθὺς τῷ εἶναι, ἤδη καὶ αἴτιόν ἐστιν ἐσομένου τινός. τὸ δὴ ὁμόσε χωροῦντας μὲν λέγειν καὶ ταῦτα, καταφεύγειν δὲ, ἐπὶ τῷ ἄδηλον εἶναι τινὸς αἴτια, (ὥσπερ ἀμέλει καὶ ἐπὶ τῆς προνοίας τῆς κατ' αὐτοὺς ἀναγκάζονται)

ποιεῖν

rum qui poſt ea ſunt, cauſæ erunt illi qui omnino non nupſerint? ut & pueri ante pubertatem defuncti? Multa enim eorum quæ fiunt propter defectum aliquem, vel non commota, vel prius extincta, nullius rei per poteſtatem aliquam ipſis inhærentem cauſæ ſunt. Cujuſnam autem cauſas eſſe dicent ſuperfluitates in quibuſdam corporis partibus ſuccreſcentes? Cujuſnam & prodigia, & ea quæ fiunt præter naturam, quæ durare omnino non poſſunt? Si autem cortex quidem inter plantas pulpæ cauſa, pulpa vero fructus gratia fit, & irrigatur quidem ut nutriatur, nutriatur vero ut fructificet, multa tamen in illis reperire poſſumus, quæ non ad hunc modum fiunt. Quorumnam enim poſt ſe cauſæ ſunt putridi & aridi fructus? Cujuſnam foliorum geminatio? Ex quibus manifeſtum fit illis qui vera videre & volunt& poſſunt, quod quemadmodum omnia agere non poſſunt, ſic nec omne quod fieri cauſa poſſet, etiam cauſa jamjam ſit, aut fuerit, aut futurum ſit, ſed nec omne quod factum eſt, ſimulatque fuerit, ſtatim & cauſa erit futuri alicujus. Hæc vero dicere, cum congrediantur, aut diſputent, refugere autem quia explicare non poſſunt cujus ſint cauſæ (ſic ut circa providentiam, qualem ipſi ſtatuunt, ſæpenumero facere coguntur) id ſane eorum eſt, qui in rebus inextricabilibus facilem exitum moliuntur. Qui enim hoc artificio utuntur poſſunt quidem de omnibus licet maxime abſurdis affirmare, & eſſe ea, & rationabiles cauſas habere, ſed quæ nobis adhuc incognitæ ſunt.

§. XXIV. His ergo ſic ſe habentibus, aut ſine cauſa aliquid fiet, & hoc ſermo noſter propugnat, vel defendi poteſt nihil eorum quæ fiunt ſine cauſa fieri, & tamen eodem modo res ſe habere quo nos dicimus. Nam ſi eam cauſarum analyſim, aut connexionem miſſam faciamus, nec amplius dicamus cum aliqua præceſſerint, ex neceſſitate ſequi id quod ex illis ut cauſis fieri debet, (ut quæ in eſſentia ipſorum cauſalitatem contineant) ſed ex iis quæ fiunt & poſteriora ſunt, cauſarum rationem reddamus, quin & ſi cauſas quæ eorum quæ fiunt ſunt dominæ exquiramus, neque quicquam eorum quæ fiunt ſine cauſa fiet, neque ideo quod fit ex neceſſitate, ſecundum talem fatalem legem omnino fiet. Non enim ex neceſſitate Sophroniſcus, ex eo quod jamjam eſt, etiam & pater eſt cujuſvis eorum qui poſt eum ſunt. Si tamen ex neceſſitate fuerit Socrates, erit ei generationis cauſa ex neceſſitate Sophroniſcus. Ut enim quamprimum fundamentum

ποιεῖν πολλάκις) εὐπορίαν ἐπὶ τοῖς ἀπόροις μηχανωμένων. τούτῳ γὰρ χρωμένοις, ἔνεστι περὶ πάντων τῶν ἀτοποτάτων λέγειν, ὡς καὶ ὄντων, καὶ εὐλόγοις ἐχόντων τινὰς αἰτίας, ἡμῖν δὲ ἀδήλοις ἔτι.

§.XXIV. Ἆρ᾽ οὖν τούτων οὕτως ἐχόντων ἀναιτίως τι γενήσεται, καὶ τοῦθ᾽ ἡμῶν ὁ λόγος προξενεῖ, ἢ δύναται σώζεσθαι τὸ μηδὲν ἀναιτίως τῶν γινομένων γίνεσθαι, καὶ τοῦτον τὸν τρόπον ἐχόντων, ὡς ἡμεῖς λέγομεν, τῶν πραγμάτων. ἂν γὰρ παυσάμενοι τῆς ἀναλύσεως τῶν αἰτίων, καὶ τοῦ τοῖς πρώτοις γινομένοις λέγειν ἐξ ἀνάγκης ἕπεσθαι τὸ αἰτίοις τισὶν ὀφεῖλον γίνεσθαι, ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν τὸ αἴτιον περιέχουσιν, ἀπὸ τῶν γινομένων τε, καὶ ὑστέρων τὴν ἀπόδοσιν τῶν αἰτίων ποιώμεθα, οὔτε τῶν γινομένων κυρίας ζητῶμεν τὰς αἰτίας, οὔτε ἀναιτίως τι τῶν γινομένων γενήσεται. οὔτε διὰ τοῦτο ἐξ ἀνάγκης καθ᾽ εἱμαρμένην τοιαύτην πάντοθεν γινόμενον ἔσται. οὐκ ἐξ ἀνάγκης γὰρ ὁ Σωφρονίσκος τῷ εἶναι ἤδη καὶ πατήρ ἐστι καὶ αἴτιός τινι τῶν μετ᾽ αὐτόν. εἰ μέν τοι Σωκράτης εἴη ἐξ ἀνάγκης, αὐτῷ τῆς γενέσεως Σωφρονίσκος ἐξ ἀνάγκης αἴτιος. ὡς γὰρ θεμελίου μὲν ὄν-

τος

τοῦ οὐκ ἀναγκαῖον οἰκίαν γενέσθαι, οἰκίας δὲ οὔσης προκαταβεβλῆσθαι τὸν θεμέλιον ἀνάγκη, οὕτως ἔχειν ὑποληπτέον καὶ ἐν τοῖς γινομένοις φύσει τὰ αἴτια ἐξ ἀνάγκης οὐκ αὐτοῖς πρώτοις ἐξ ἀνάγκης ἑπόμενον τὸ αἰτίοις εἶναι τινῶν, ἀλλὰ τοῖς ὑστέροις γινομένοις τὸ ἐξ ἀνάγκης ἔχειν τι τῶν πρὸ αὐτῶν αἴτιον. ἔστι δέ τινα τῶν γινομένων καὶ τοιαῦτα, ὡς ἔχειν μὲν αἴτιόν τι, οὐ μὴν οἰκεῖον οὐδὲ προηγούμενον, ἀλλ' ὡς ἡμῖν ἔθος λέγειν κατὰ συμβεβηκός. ὁ γὰρ εὑρεθεὶς θησαυρὸς ὑπὸ τοῦ διὰ τὸ φυτεύειν σκάπτοντος, ἔχει μὲν τὸ σκάπτειν αἴτιον, ἀλλ' οὐκ οἰκεῖον, οὐδὲ γινόμενον δι' αὐτόν· τὰ μὲν γὰρ κυρίως αἴτια, ἢ ἐξ ἀνάγκης μόνον, ὡς πάντως δοκεῖ, καὶ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενον ἔχει τοιοῦτον· τὰ δὲ κατὰ συμβεβηκὸς οὕτως αἴτια σπανίως γίνεται τῶν τοιούτων αἴτια, ὥς τε τοῖς τοῦτον τὸν τρόπον λέγουσιν, ἅμα μὲν ἕπεται, τὸ μηδὲν ἀναιτίως γίνεσθαι λέγειν, ἅμα δὲ τὸ σώζειν τότε ἀπὸ τύχης καὶ αὐτομάτως γίνεσθαί τινα, καὶ εἶναι καὶ τὸ ἐφ' ἡμῖν, καὶ τὸ ἐνδεχόμενον ἐν τοῖς πράγμασιν, ἀλλ' οὐ φωνῇ μόνον.

§.XXV Πῶς γὰρ οὐ φανερῶς τὸ λέγειν ψεῦδος, πᾶν τὸ ἑπόμενόν τινι, ἐξ ἐκείνου

tum jactum fuerit, non ſtatim neceſſarium eſt domum fieri, ſed ſi domus fuerit, neceſſe eſt prius jactum fuiſſe fundamentum. Sic ſe habere exiſtimandum cauſas eas quæ ex neceſſitate ſunt, in iis quæ natura fiunt, non quod illis primis ex neceſsitate conſequens ſit, aliquarum ea cauſas eſſe, ſed quod iis quæ poſteriora ſunt factis neceſſarium ſit ut inter præcedentia cauſam aliquam habeant. Sunt autem eorum quæ fiunt quædam ejuſmodi, ut cauſam quidem habeant aliquam, non autem propriam neque principalem, ſed ut ſolemus dicere, per accidens. Theſaurus enim ab eo inventus qui plantandi cauſa foderit, foſsionem quidem cauſam habet, ſed non propriam, nec ad inventionem theſauri deſtinatam. Principales enim cauſæ, vel ſolum ex neceſsitate, ut illi exiſtimant, talem ut plurimum effectum habent: Quæ vero ita per accidens cauſæ ſunt, raro talium effectuum fiunt cauſæ. Adeo ut qui hoc modo loquuntur, neceſſario ſequatur, & ut nihil ſine cauſa fieri affirment, ſimulque defendant quædam & caſu & ſponte fieri, & eſſe in rebus & libertatem & contingentiam, nec has voce tantum.

§. XXV. Quomodo enim non ſit manifeſto falſum, ſi quis affirmet omne quod cuivis conſequens eſt ab eo cauſam habere quod ſit, & omne antecedens cauſam eſſe ejus, cujus eſt antecedens? videmus enim ea quæ tempore poſteriora ſunt, non omnia per ea facta eſſe, quæ ante ea fuerint. Neque enim ambulat aliquis ideo quia ſurrexit, neque nox eſt propter diem, neque Iſthmiorum certamen propter Olympicum, ſed neque propter hyemem æſtas. Unde & prodigii inſtar eſſet, ſi quis Iſthmiorum cauſam ad hunc modum redderet, quod ſemper id quod prius eſt ſit cauſa poſterioris, & ſic connectionem aliquam facerent, & continuitatem cauſarum, hancq; rationem redderent, quod nihil ſit ſine cauſa. videmus enim in multis eandem cauſam & priorum & poſteriorum eſſe, adeoque & ſurgendi & ambulandi eandem cauſam, nec enim ſurrectio ambulationis cauſa eſt, ſed utriuſque is qui & ſurgit & ambulat, & voluntas ejus deliberata. Videmus etiam quod & nox & dies ordinem quendam mutuum inter ſe conſervent, unam & eandem cauſam eſſe. Similiter & in fructuum mutatione. Non enim hiems æſtatis cauſa eſt, ſed & illius & hujus, motus & circulatio cœleſtis corporis, ejuſque per obliquum circulum declinatio, per quam Sol cum moveatur, omnium ſimiliter prædictorum cauſa eſt. Videmus etiam quod non ſit cauſa diei

nox,

τὴν αἰτίαν τοῦ εἶναι ἔχειν, καὶ πῶς τὸ προηγούμενόν τινος, αἴτιον ὑπάρχειν ἐκείνῳ; ὁρῶμεν γὰρ ὅτι τὰ ἀφεξῆς ἀλλήλοις ὄντα τῷ χρόνῳ, οὐ πάντα διὰ τὰ ἔμπροσθεν, καὶ πρὸ αὐτῶν γεγονότα γίνεται. οὔτε γὰρ τὸ βαδίσαι διὰ τὸ ἀναστῆναι, οὔτε νὺξ διὰ τὴν ἡμέραν, οὔτε ὁ τῶν Ἰσθμίων ἀγὼν διὰ τὸν τῶν Ὀλυμπίων, ἀλλ' οὐδὲ διὰ τὸν χειμῶνα τὸ θέρος. ὅθεν καὶ θαυμάσειεν ἂν τις αὐτοὺς τὴν τῶν Ἰσθμίων ἀπόδοσιν τοῦτον ποιουμένους τὸν τρόπον, ὡς ἀεὶ τὸ πρῶτον γεγονὸς αἰτιᾶσθαι τοῦ μετὰ τοῦτο, καὶ ποιεῖν ἐπισύνδεσίν τινα, καὶ συνέχειαν τῶν αἰτίων, καὶ ταύτην τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέροντας τὴν αἰτίαν. ὁρῶμεν γὰρ ὅτι πολλῶν αὐτὸ καὶ τοῖς πρώτοις, καὶ τοῖς ὑστέροις γινομένοις ὂν αἴτιον, τοῦ γοῦν ἀναστῆναι καὶ τοῦ περιπατῆσαι τὸ αὐτὸ αἴτιον· οὐ γὰρ τὸ ἀναστῆναι τοῦ περιπατῆσαι, ἀλλ' ἀμφοτέρων ὁ ἀναστὰς καὶ περιπατῶν αἴτιος, καὶ ἡ τούτου προαίρεσις. ὁρῶμεν δ' ὅτι καὶ νυκτὸς καὶ ἡμέρας τάξιν τινὰ ἐχούσων πρὸς ἀλλήλας ἓν καὶ ταὐτὸ αἴτιον. ὁμοίως δὲ καὶ τῆς τῶν καρπῶν μεταβολῆς. οὐ γὰρ ὁ χειμὼν αἴτιος τοῦ θέρους, ἀλλ' ἐκείνου τε καὶ τούτου τοῦ θείου σώματος κίνησίς τε καὶ περιφορά, καὶ ἡ κατὰ τὸν λοξὸν κύκλον ἔγκλισις, καθ' ἣν ὁ ἥλιος κινούμενος, ἁπάντων ὁμοίως τῶν προειρημένων αἴτιος. καὶ ὅτι μὴ νὺξ τῆς ἡμέρας αἰτία, ἢ ὁ χειμὼν τοῦ θέρους, μήδε ἐμπλέκεσθαι ταῦτα ἀλλήλοις, ἁλύσεως δίκην, ἂν ἕως ταῦτα γίνεται, ἢ εἰ μὴ οὕτως γένοιτο, διασπασθήσεται ἡ τοῦ κόσμου τε καὶ τῶν ἐν αὐτῷ γινομένων τε καὶ ὄντων ἕνωσις. ἱκανὰ γὰρ τὰ θεῖα, καὶ ἡ τούτων περιφορὰ, τὴν τῶν γινομένων ἐν τῷ κόσμῳ συνέχειαν φυλάσσειν. ἀλλ᾽ οὐδὲ τὸ περιπατεῖν ἀναίτιον, ἐπεὶ μὴ ἐκ τοῦ ἀναστῆναι τὴν αἰτίαν ἔχει. ὡς τ᾽ οὐχ οὕτως αἰτίων εἱρμὸς ὑπ᾽ αὐτῶν λεγόμενος, εὐλόγως ἂν τοῦ μηδὲν ἀναιτίως γίνεσθαι, φέροιτο τὴν αἰτίαν. ὡς γὰρ αἱ κινήσεις καὶ οἱ χρόνοι ἔχουσι μὲν τινα αἰτίαν, οὐ μὴν οὔτε ἡ κίνησις τὴν περὶ αὐτῆς, οὔτε ὁ χρόνος τὸν περὶ αὐτοῦ χρόνον, οὕτως ἔχει καὶ τὰ ἐν αὐτοῖς τε, καὶ τὰ δι᾽ αὐτῶν γινόμενα πράγματα. Τῆς μὲν γὰρ συνεχείας τῶν γινομένων ἐστί τις αἰτία, δι᾽ ἣν ὁ κόσμος εἷς τε καὶ ἀΐδιος κατὰ τὸ αὐτό τε καὶ ὡσαύτως ἀεὶ διοικούμενος. Καὶ δεῖ ταύτην ζητεῖν τε καὶ παραλιπεῖν τὴν αἰτίαν, οὐ γὰρ χρὴ τοιαύτην ὑπολαμβάνειν ἕως ἐκ τοῦ πρεσβυτέρου γίνεσθαι τὸ νεώτερον, ὡς ὁρῶμεν γινόμενον ἐπὶ τῆς τῶν ζώων γενέσεως, ἄλογον δὲ, καὶ ἀρχήν τινα ἐν τοῖς αἰτίοις εἶναι λέγειν, οὐκέτι ἄλλην περὶ αὐτῆς ἀρχὴν καὶ αἰτίαν ἔχουσαν. οὐ γὰρ εἰ πάντα τὰ γινόμενα πάντα αἴτια ἔχει, ἤδη καὶ πάντων εἶναί τινας αἰτίας

nox, aut hyems æſtatis, neque implicantur hæc ad invicem catenæ inſtar donec fiant, aut ſi non ſic fiant, diſſipabitur mundi & eorum quæ in eo & fiunt & ſunt unitas. Sufficiunt enim divina, & horum circumvolutio ad continuitatem eorum quæ in mundo fiunt conſervandam. Sed nec ipſa ambulatio ſine cauſa eſt, ideo, quod non ex ſurgendo cauſam habet. Adeo ut hæc cauſarum ſeries ab iis dicta nulla cum ratione ex hinc rationem petat, quod nihil ſine ratione fiat. Ut enim motus & tempora aliquam quidem cauſam habent, non tamen motum aliquem ante-motum, neque tempus aliquod ante tempus, ſic etiam ſe res habet in iis quæ in illis, & quæ per illa fiunt. Continuitatis enim eorum quæ fiunt eſt cauſa aliqua, per quam mundus & unus eſt & æternus per idem, eodemque modo ſemper gubernatur. Et hæc quidem inquirenda ſimul ac prætermittenda eſt cauſa. Non enim exiſtimandum eſt talem ſemper eſſe, donec ab antiquiori fiat recentius, ut videmus fieri in animalium generatione, Rationi autem conſonum eſt, principium aliquod inter cauſas ſtatuere, quod aliud ante ſe principium aut cauſam non habeat. Nec enim ſi omnia quæ fiunt cauſam aliquam habeant, neceſſarium etiam erit omnium cauſas eſſe, non enim omnia quæ ſunt, fiunt. Quomodo enim abſurdum non erit, cauſas in infinitum eſſe dicere, talemq; eorum ſeriem & connexionem, ut nihil aut primum aut ultimum ſit? Nullam enim primam cauſam eſſe dicere, cauſam omnino tollere eſt. Sublato enim principio neceſſum etiam eſt id quod ſubſequitur auferri. Auferetur etiam & ſcientia ſecundum hanc rationem, ſiquidē ſcientia proprie dicta primarum cauſarum cognitio eſt. Non autem eſt ſecundum eos inter cauſas prima. Dein non omnis ordinis trangreſsio eorum in quibus fit deſtructiva eſt. Poſſunt enim aliqua præter Regis ordinationem fieri, quæ tamen non ſunt omnino regni deſtructiva. Neque ſi hujuſmodi aliquid in mundo fiat, beatitudinem mundi ſtatim diſſolvet, ut nec domus nec domini beatitudinem quælibet ſervorum nequitia diſſolutura eſt.

§. XXVI. Quæ vero illi dubia proponunt contra talem arbitrii libertatem, qualem communis hominum opinio credidit, non ſine omni ratione dubitantur. At qui dubitationibus iſtis tanquam rebus in confeſſo poſitis ſic provehuntur, ut de iis quidem dubitent quæ adeo manifeſta ſunt, ſimulque vitam hominum umbram & ludum faciunt, & pro dubitationibus his contra ſeipſos contendunt, quomodo non ab

τίας ἀνάγκη, οὐ γὰρ πάντα τὰ ὄντα γίνεται. πῶς γὰρ οὐκ ἄτοπον τὸ λέγειν ἐπ᾽ ἄπειρον εἶναι τὰ αἴτια, καὶ τὸν εἱρμὸν αὐτῶν καὶ τὴν ἐπισύνδεσιν, ὡς πρῶτόν τι μὴ εἶναι, μήτε ἔσχατον; Τὸ γὰρ μηδὲν πρῶτον αἴτιον λέγειν, ἀναιρεῖν ἐστι τὸ αἴτιον, ἀναιρουμένης γὰρ ἀρχῆς ἀναιρεῖσθαι καὶ τὸ μετ᾽ αὐτὴν ἀνάγκη. ἀναιροῖτο δ᾽ ἂν καὶ ἐπιστήμη κατὰ τὸν λόγον τοῦτον, εἴγε ἐπιστήμη μέν ἐστιν κυρίως ἡ τῶν πρώτων αἰτίων γνῶσις. Οὐκ ἔστι δὲ κατ᾽ αὐτοὺς ἐν τοῖς αἰτίοις τὸ πρῶτον, οὐ πᾶσά τε τάξεως παράβασις ἀναιρετικὴ τῶν ἐν οἷς γίνεται. γίνεσθαι γὰρ ἔνια καὶ παρὰ τὴν τοῦ βασιλέως τάξιν οὐκ ἀδύνατον, ἃ οὐ πάντως τῆς βασιλείας ἤδη γίνεται φθαρτικά, οὐδὲ εἴ τι τοιοῦτον ἐν τῷ κόσμῳ γίνοιτο, πάντως ἤδη τοῦτο λύει τὴν εὐδαιμονίαν τοῦ κόσμου, καθάπερ οὐδὲ τῆς τοῦ οἴκου καὶ τῆς τοῦ δεσπότου ἡ τυχοῦσα τῶν οἰκετῶν ῥᾳδιουργία.

§.XXVI

Ἃ δὲ ἀπορροῦσι πρὸς τὸ εἶναι τοιοῦτον τὸ ἐφ᾽ ἡμῖν, ὁποῖον ἡ κοινὴ πρόληψις τῶν ἀνθρώπων πεπίστευκεν, ἀπορεῖν μὲν οὐκ ἄλογον. τὸ δὲ τοῖς ἀπορουμένοις ἐποχουμένοις ὡς ὁμολογουμένοις, ἀναιρεῖν μὲν ἃ οὕτως ἐναργῆ, σκιαγραφίαν δέ τινα καὶ παιδιὰν ἀποφαίνειν τὸν τῶν ἀνθρώπων βίον, καὶ συναγωνίζεσθαι τοῖς ἀπορουμένοις καθ᾽ αὑτῶν, ὡς οὐ παντάπασιν ἄλογον; Οὐδὲ γὰρ μὴ τῷ δυναμένῳ λύειν τινὰ τῶν Ζήνωνος λόγων τῶν κατὰ τῆς κινήσεως, ἤδη κίνησιν ἀναιρετέον. ἱκανωτέρα γὰρ ἡ τοῦ πράγματος ἐνάργεια πρὸς συγκατάθεσιν πάσης τῆς διὰ λόγων ἀναιρούσης αὐτὸ πιθανότητος. οὐ χεῖρον δὲ ἴσως καὶ ἡμᾶς τῶν ἀπορουμένων ὑπ' αὐτῶν, οἷς μάλιστα θαῤῥοῦσιν, ταῦτα προχειρισαμένους ἐξετάσαι, πῶς ἔχει. ἴσως γὰρ οὐδὲν ἄγαν φανεῖται εἰς αὐτά. ἔστι δή τι τῶν ἀπορουμένων ὑπ' αὐτῶν καὶ τοιοῦτον. εἰ, φασὶ, ταῦτά ἐστιν ἐφ' ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενα δυνάμεθα, καὶ ἐπὶ τοῖς τοιούτοις οἵτε ἔπαινοι, καὶ οἱ ψόγοι, προτροπαί τε, καὶ ἀποτροπαὶ, καὶ κολάσεις τε, καὶ τιμαὶ, οὐκ ἔσται τὸ φρονίμοις εἶναι, καὶ τὰς ἀρετὰς ἔχειν ἐπὶ τοῖς ἔχουσιν, ὅτι μηδέ εἰσι τῶν ἀντικειμένων κακιῶν ταῖς ἀρεταῖς δεκτικαί. ὁμοίως δὲ οὐδὲ αἱ κακίαι ἐπὶ τοῖς κακοῖς, οὐδὲ γὰρ ἐπὶ μὲν τούτοις τὸ μηκέτ' εἶναι κακοῖς. ἀλλὰ μὴν ἄτοπον τὸ μὴ λέγειν τὰς ἀρετὰς καὶ τὰς κακίας ἐφ' ἡμῖν, μηδὲ τοὺς ἐπαίνους καὶ τοὺς ψόγους ἐπὶ τούτων γίνεσθαι, οὐκ ἄρα τὸ ἐφ' ἡμῖν τοιοῦτον.

§. XXVII. Οἱ συγχωρήσαντες ἀναποβλήτοις τὰς ἀρετάς τε καὶ τὰς κακίας εἶναι, ἴσως προχειρότερον λαμβάνοντες λέγοιεν

ἂν

ab omnimoda ratione alienum eſt? Non enim ſi aliquod Zenonis argumentum contra motum ſolvere nequeas, ſtatim motus tollendus eſt. Validior enim eſt ad conſenſum impetrandum rei ipſius evidentia, quam omnis verborum illecebra quæ eum auferat. Neque vero abs re fortaſſis erit dubitationum ab illis allatarum eas quibus maxime confidunt in manus ſumere, & quomodo ſe habeant inquirere. Fortaſſe enim apparebit nihil magni in illis eſſe. Hæc vero eſt una eorum objectio. Si, inquiunt, hæc in noſtra poteſtate ſint, quorum contraria facere poſſumus, & circa talia verſentur laudes, vituperia, exhortationes, dehortationes, ſupplicia & mercedes, non erit in poteſtate proborum probos eſſe, nec in poteſtate eorum qui virtutes habent, virtutes habere, cum eæ non ſint receptivæ eorum quæ ſunt virtutibus contraria. Similiter neque vitia erunt in poteſtate pravorum, neque enim in pravorum poteſtate eſt, ut mali amplius non ſint. Abſurdum vero eſt dicere, non eſſe virtutes & vitia in noſtra poteſtate, neque laudes & vituperia propter ea fieri. Non igitur tale quidquam eſt libertas noſtra.

§ XXVII. Qui virtutes & vitia concedunt a nobis non poſſe abjici, id forſan ſumentes quod promptius eſt, dicerent quidem ſecundum hoc, habitus in poteſtate habentium eſſe, quia antequam eos habeamus, in poteſtate noſtra ſit eos non accipere. Qui enim virtutes habent & poteſtatem meliora negligendi, ſi meliora eligerint, ſibi ipſi cauſæ facti ſunt quod virtutes poſſideant; & ſimiliter qui vitia habent. Idem etiam & in artibus dici poteſt. Unuſquiſque enim artifex antequam artem habeat, poteſtatem etiam habet ut non fiat artifex. Cum autem artifex factus ſit, non jam ulterius in poteſtate habet, ut non & fiat & ſit talis. Productiones enim talium ſunt in noſtra poteſtate, ideoque non ſimilis eſt veritas in futuris, & præſentibus, & præteritis, quia & quod jam eſt, & quod factum fuit, impoſſibile eſt vel non eſſe vel non factum eſſe; quod autem futurum eſt, poteſt etiam & non eſſe. Quare antequam quiſpiam virtutem habet, verum erat, poſſibile etiam eſſe ut non fiat talis; quod vero tale fit, hoc cum peractum eſt, verum eſt dicere quod ita fuerit. Si igitur talis ex nativitate bonus fuerit, & ad alia quæ ei natura dedit, hæc ab ea acceperit, non omnino erat in ejus poteſtate talem eſſe, ut neque bipedem aut rationalem eſſe; laudari certe non poteſt quod talis ſit, ſed admiratione potius dignus eſſet, quod tale a divina eſſentia do-

num

ἂν κατὰ τοῦτο τὰς ἕξεις ἐπὶ τοῖς ἔχουσιν εἶναι, καθόσον περὶ τοῦ λαβεῖν αὐτὰς, ἐπ' αὐτοῖς ἦν καὶ μὴ λαβεῖν. οἵ τε γὰρ τὰς ἀρετὰς ἔχοντες, καὶ τὸ τῶν βελτιόνων ἀμελεῖν, ἑλόμενοι τὰ βελτίω, αὐτοῖς αἴτιοι τῆς τῆς ἀρετῆς ἐγίνοντο κτήσεως, οἵ τε τὰς κακίας ἔχοντες, παραπλησίως. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν τεχνῶν λόγος. καὶ γὰρ τῶν τεχνιτῶν ἕκαστος περὶ μὲν τοῦ τέχνην ἔχειν, εἶχε καὶ τοῦ μὴ γενέσθαι τὴν ἐξουσίαν. γενόμενος δὲ, οὐκέτ' ἔστι κύριος τοῦ μὴ γεγονέναι τε καὶ εἶναι πιοῦτος. Αἱ γὰρ γενέσεις τῶν τοιούτων ἐφ' ἡμῖν, καὶ διὰ τοῦτο οὐχ ὅμοιον τὸ ἀληθὲς ἐπί τε τῶν μελλόντων, καὶ ἐπὶ τῶν μὲν ὄντων τε, καὶ γεγονότων, ὅτι μὲν ὄν τε καὶ γεγονὸς οὐχ οἷόν τε ἢ μὴ εἶναι, ἢ μὴ γεγονέναι· τὸ δὲ μέλλον γίνεσθαι, ἐνδέχεται καὶ μὴ γίνεσθαι. διὸ περὶ μὲν τοῦ τὴν ἀρετὴν ἔχειν τῶν δέ τινα, ἀληθὲς ἦν τὸ ἐνδέχεσθαι καὶ μὴ γενέσθαι τοιοῦτον. ὃ δὲ ποιοῦτο γίνεται, τοῦτο καὶ γενόμενον, ἀληθὲς οὕτω λέγειν· γεγονέναι. εἰ μὲν δὴ ἦν ἐκ γενετῆς ὁ φρόνιμος τοιοῦτος, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις τοῖς ὑπὸ φύσεως αὐτῷ δεδομένοις εἶχε παρ' ἐκείνης λαβὼν, οὐδ' ὅλως ἂν ἦν ἐπ' αὐτῷ τὸ εἶναι τοιούτῳ, ὥσπερ οὐδὲ τὸ εἶναι δίποδι, ἢ λογικῷ, οὐδ' ἂν ἐπῃνεῖτο ἐπὶ τῷ πιοῦτος εἶναι, ἀλλ' ἐθαυμάζετο, ὡς ἔχων παρὰ τῆς θείας φύσεως δῶρον τηλικοῦτον. ὡς γὰρ τῶν ὑγιαινόντων, ὅσοι μὲν ἀσθενεῖς ὄντες τὴν φύσιν, διὰ τῆς οἰκείας ἐπιμελείας εἰσὶ τοιοῦτοι, τούτους μὲν ἐπαινοῦμεν, ὡς ἑαυτῶν πρόνοιαν τὴν προσήκουσαν ποιουμένους, δι' ἣν πρόνοιαν οὐκ εἰσὶν ἐν τῷ νοσεῖν, τοὺς δὲ ἐκ φύσεως ὑγιεινοὺς, καὶ τοὺς μὴ νοσοῦντας ἄνευ πραγματείας καὶ φροντίδων, οὐκέτι μὲν ἐπαινοῦμεν, μακαρίζομεν δὲ, ὡς χωρὶς καμάτων τοῦτο ἔχοντας, ὃ καὶ τοῖς ἄλλοις ἀγαπητὸν, εἰ καὶ μετὰ καμάτου παρείη· τὸν αὐτὸν τρόπον, εἰ καὶ ἔτι μᾶλλον, ἐπὶ τῶν ἀρετῶν ἐποιοῦμεν ἂν, εἰ ἦσαν ἐκ φύσεώς τισι παροῦσαι, ὅπερ ἀμέλει ποιοῦμεν ἐπὶ τῶν θεῶν. ἐπεὶ δὲ ἀδύνατον ἡμῖν τοῦτο, καὶ οὐδὲν ἀδύνατον δεῖ παρὰ τῆς φύσεως ἀπαιτεῖν. αὕτη γὰρ δυνατοῦ τε καὶ ἀδυνάτου μέτρον. τελειότης μὲν γὰρ ἡ ἀρετὴ, καὶ ἡ ἀκρότης τῆς οἰκείας φύσεως ἑκάστου, ἀδύνατον δὲ ἀτελές τι ὂν ἐν τελειότητι εἶναι, ἀτελὲς δὲ τὸ γινόμενον εὐθὺ τῷ γίνεσθαι, οὐδὲ τὴν ἀρετὴν οἷόν τε τῷ ἀνθρώπῳ συμφῦναι. Οὐ μέντοι ἀσύμβολος ἡ φύσις αὐτῷ, πρὸς τὴν κτῆσιν αὐτῆς, ἀλλ' ἔχει παρ' αὐτῆς δύναμιν τε, καὶ ἐπιτηδειότητα, δεκτικὴν αὐτῆς, ἣν οὐδὲν τῶν ἄλλων ζώων ἔχει, καὶ διὰ τὴν δὲ τὴν δύναμιν, ὁ ἄνθρωπος τῶν ἄλλων ζώων φύσει διαφέρει, καί τοι πολλῶν ζώων ἀπολειπόμενος ἐν τοῖς σωματικοῖς πλεονεκτήμασιν. Εἰ μὲν οὖν οὕτως ἔχομεν παρ' αὐτῆς τὴν δύναμιν,

τὴν

num acceperit. Ut enim bene valentium illos laudamus qui natura infirmi exiſtentes, propria cura tales fiunt, ut qui congruam ſui curam habuerint, per quam ſe a morbis tuentur, qui vero naturaliter bene valent & infirmi non ſunt ſine opera & cura ſua, eos non laudamus, ſed beatos prædicamus, ut qui ſine laboribus hæc ſunt adepti, quod alii etiam cum dolore libenter adepturi eſſent; eodem modo, aut adhuc magis, circa virtutes faceremus, ſi quibuſdam adeſſent ex natura, ſicut nimirum facimus circa Deos. Cum vero hoc ſit nobis impoſſibile, nihil quod impoſſibile eſt, a natura requirendum eſt, ea enim poſſibilis & impoſſibilis menſura eſt. Quinimo virtus propriæ cujuſque naturæ perfectio, & apex eſt. Impoſsibile autem eſt id quod imperfectum eſt in perfectione eſse. Imperfectum vero eſt quod naſcitur, quamprimum naſcitur, nec igitur poſsibile eſt virtutem cum homine naſci. Nec tamen nihil illi confert natura ad adeptionem ejus, ſed a natura habet homo facultatem & promptitudinem ejus receptivam, quam aliud animalium nullum habet, & propter hanc facultatem homo aliis animalibus naturaliter præfertur, quamvis in corporeis excellentiis a multis ſuperetur. Si igitur hanc quidem ab ea facultatem virtutis receptivam ſic haberemus, ut provectiores & adulti etiam hanc acciperemus, eo modo quo potentia ambulandi, quo dentes, quo barba nobis naſcuntur, aut aliud aliquid eorum quæ nobis ſecundum naturam ſuperveniunt, ne ſic quidem in noſtra poteſtate virtus eſset, magis quam reliqua quæ prædicta ſunt, quandoquidem ea nos non ita acquirimus. Si enim ſicut alia, ita etiam prudentia & virtus hominibus connaſcerentur, tunc omnes, aut ſaltem plurimi eas obtinerent, ut reliqua quæ ſecundum naturam iis adſunt, nec jam ſolam facultatem virtutum capacem, ſed & ipſas virtutes a natura haberemus, & nullus jam laudibus aut vituperiis vel hujuſmodi cuilibet locus eſset, cum & in virtutibus & vitiis diviniorem originem haberemus ex qua eæ nobis adeſsent. Cum vero ſecus ſe res habeat (non enim omnes aut plurimos videmus virtutibus præditos, quod eorum quæ natura ſunt indicium eſt, ſed abunde erit ſi unum aliquem talem deprehendamus qui exercitii & diſciplinæ ope oſtendit hominis naturalem ſuper alia animalia excellentiam, ſua indole adjiciens id quod neceſsarium eſt, & tamen deeſt naturæ noſtræ) ſequitur in poteſtate noſtra eſſe virtutis adeptionem, & non eſse inutiles aut inanes laudes & vituperia, aut ad-

hortationes

τὴν τῆς ἀρετῆς δεκτικὴν, ὡς περιϊόντες, καὶ τελειούμενοι καὶ ταύτην λαμβάνειν, ὡς τὸ περιπατεῖν, ὡς τὸ ὀδόντας, ὡς τὸ γένεια φύειν, ὡς ἀλλό τι τῶν ἐπιγινομένων ἡμῖν κατὰ φύσιν, οὐδ' οὕτως ἂν ἐφ' ἡμῖν ἦσαν αἱ ἀρεταὶ, ὥσπερ οὐδὲ τῶν προειρημένων τι, ἐπεὶ μὴ δὲ τοῦτον τὸν τρόπον αὐτὰς κτώμεθα· εἰ γὰρ ἦν ὥσπερ τὰ ἄλλα, οὕτω δὲ καὶ φρόνησίς τε καὶ ἀρετὴ τοῖς ἀνθρώποις συγγενῆ, πάντες ἂν, ἢ οἵγε πλεῖστοι, ὥσπερ τῶν ἄλλων κατὰ φύσιν αὐτῶν τυγχάνοιεν, οὐδὲ τὴν δύναμιν τὴν τῆς ἀρετῆς δεκτικὴν μόνην, ἀλλὰ καὶ τὰς ἀρετὰς αὐτὰς παρ' ἐκείνης ἂν ἔχωμεν, καὶ οὐδὲν οὐδ' οὕτως ἂν ἔδει ἐπαίνων, ἢ ψόγων, ἢ τινὸς τῶν τοιούτων, ἐπὶ δὲ ταῖς ἀρεταῖς τε καὶ κακίαις θειοτέραν πρόφασίν τε καὶ οὐσίαν τῆς παρουσίας αὐτῶν ἔχουσιν. ἐπεὶ δ' οὐχ οὕτως ἔχει, οὐ γὰρ τοὺς πάντας, οὐδὲ τοὺς πλείστους ὁρῶμεν τὰς ἀρετὰς ἔχοντας, ὃ τῶν κατὰ φύσιν γινομένων σημεῖόν ἐστιν, ἀλλ' ἀγαπητὸν ἕνα που λαβεῖν τοιοῦτον, ὃς δι' ἀσκήσεώς τε καὶ διδασκαλίας, δείκνυσι τὴν τῶν ἀνθρώπων πρὸς τὰ ἄλλα ζῶα φυσικὴν πλεονεξίαν, δι' αὐτοῦ προστιθεὶς τὸ ἀναγκαῖον ἐνδέον ἡμῶν τῇ φύσει, διὰ τοῦτο ἐφ' ἡμῖν τί ἐστιν ἡ τῶν ἀρετῶν κτῆσις, καὶ οὐκ ἄχρηστοι, οὐδὲ μάτην, οὔτε οἱ ἔπαινοι, οὔτε οἱ ψόγοι, οὐτε πρὸς βέλτιον προκοπὴ, οὔθ' ἡ διὰ τῶν βελτιόνων ἐθῶν κατὰ τοὺς νόμους ἀγωγή. τῶν μὲν γὰρ φύσει τισὶν ὑπαρχόντων, οὐδὲν ἐθίζονται ὑπό τινος ἤθοις ἀλλοῖον γίνεσθαι. οὐχ οὕτω πολλάκις τὸ βάρος ἔχον ἀναρριφθήσεται, ὡς ἐθισθῆναι κατὰ τὴν αὐτοῦ φύσιν ἄνω φέρεσθαι. τὰ δὲ ἤθη τῶν ἀνθρώπων τοιὰ καὶ τοιὰ διὰ τῶν διαφορόντων ἐθῶν γίνεται. καὶ ἐπὶ μὲν τῶν φύσει πρώτας τὰς ἕξεις κτησάμενοι, οὕτως ἐνεργοῦμεν κατ' αὐτάς, οὐ γὰρ ἰδόντες πολλάκις, τὴν ὁρατικὴν ἕξιν κτώμεθα, ἀλλ' ἔχοντες αὐτήν, οὕτως ὁρῶμεν. ἐπὶ δὲ τῶν οὐ φύσει, ἐκ τῶν ἐνεργειῶν τὰς ἕξεις κτώμεθα. οὐ γὰρ ἄλλως τέκτων τις ἂν γένοιτο, μὴ πολλάκις ἐνεργήσας τὰς τοῦ τέκτονος ἐνεργείας, κατὰ τὰς ὑποθήκας τοῦ διδάσκοντος. ὥς τ' ἐπεὶ καὶ τὰς ἀρετὰς οὕτω κτώμεθα, ἐνεργοῦντες γὰρ καὶ τὰ σωφρονικὰ, γινόμεθα σώφρονες, οὐκ ἂν ἡμῖν ὑπάρχοιεν φύσει.

§. XXVIII. Οἱ δὲ φάσκοντες ἐξ ἀνάγκης ἡμᾶς εἶναί τε, καὶ γίνεσθαι τοιούτους, καὶ μὴ καταλιπόντες ἡμῖν τὴν ἐξουσίαν τοῦ ταῦτα πράττειν τε καὶ μὴ, δι' ὧν ἂν τοιοῦτοι γενοίμεθα, καὶ διὰ τοῦτο μήτε τοῖς κακοῖς γενομένοις ἐξεῖναι μὴ ταῦτα πράττειν ἃ πράττοντες γίνονται τοιοῦτοι, μήτε τοῖς ἀγαθοῖς. πῶς οὐχ ὁμολογή-

hortationes ad reformationem, neque inſtitutionem ſecundum leges, quæ melioribus habitibus homines induat. Cum enim quædam natura quibuſdam inſint, impoſsibile eſt ut ea per aſſuefactionem mutentur. Quod grave eſt, non ita frequenter ſurſum projicietur, ut aſſuefiat contra naturam ipſius ſurſum ferri; ſed mores hominum tales vel tales per diverſas aſſuefactiones fiunt, & in iis quæ natura ſunt, ut facultates primas habemus, ſic etiam operamur ſecundum eas, non enim ex frequenti viſione videndi facultatem acquirimus. In iis vero quæ natura non ſunt, ex operationibus habitus acquirimus, non enim aliter faber quis fiat niſi frequenter operando operationes fabri, ſecundum magiſtri præcepta. Quare cum & eodem modo virtutes acquiramus (operationes enim ſobrias edentes ſobrii evadimus) certe non inſunt nobis naturaliter.

§. XXVIII. Qui autem dicunt nos ex neceſſitate eſſe aut fieri tales, & nullam nobis relinquunt poteſtatem ea & faciendi & non faciendi, per quæ tales evadimus, ideoque nec eos qui mali fiunt, poſſe ea non facere quæ faciendo tales fiunt, neque itidem eos qui boni ſunt, quomodo non fatebuntur hominem a natura omnium animalium peſſimum factum eſſe, propter quem tamen omnia alia facta eſſe dicunt, ut ad ſalutem ejus conducerent ? Si enim virtus ſolummodo & vitium ſecundum eos, bona hæc, illud malum ſit, nec aliud quodvis inter animalia utriuſvis horum capax ſit, hominum autem plurimi mali ſint, aut potius unus aut alter bonus ab iis inter prodigia reponitur, ut animal admirabile, & præter naturam, & Phœnice qui apud Æthiopes eſt rarius, omnes autem mali æqualiter tales ſint, cum nullus ab alio differat, ſed ſimiliter inſaniant omnes qui ſapientes non ſunt, quomodo non animalium omnium miſerrimum homo futurus eſt, ut qui ſibi connaturales & eo hæreditarias habeat malitiam & inſaniam? Sed quæ illis in dogmatis ſua paradoxa excidant, quomodo ea a veritate diſſideant inquirere, maxima ex parte nunc temporis prætermittendum eſt. Redeundum vero unde huc divertimus.

§. XXIX. Oſtendimus autem ideo in hominis probi poteſtate eſſe talem eſſe, quia ipſe ſibi & inquiſitionis hujuſmodi, & poſſeſſionis hujus cauſa ſit, in eo quod prius habuerit poteſtatem ut talis non fieret: Jam facultatem iſtam non habere, non eſt in ejus poteſtate, ut nec ſtare eſt

in

ὁμολογήσουσι κάκιστον γεγονέναι τῶν ζώων ἁπάντων ὑπὸ τῆς φύσεως τὸν ἄνθρωπον, δι' ὃν φασὶ πάντα τἄλλα γίνεσθαι, ὡς συντελέσαντα πρὸς τὴν τούτου σωτηρίαν; Εἰ γὰρ ἡ μὲν ἀρετή τε καὶ ἡ κακία μόναι, κατ' αὐτοὺς, ἡ μὲν ἀγαθὸν, ἡ δὲ κακὸν, καὶ οὐδὲν τῶν ἄλλων ζώων οὐδετέρου τούτων ἐστὶν ἐπιδεκτικὸν, τῶν δὲ ἀνθρώπων οἱ πλεῖστοι κακοὶ, μᾶλλον δὲ ἀγαθὸς μὲν εἷς, ἢ δεύτερος ὑπ' αὐτῶν γεγονέναι μυθεύεται, ὥσπερ τι παράδοξον ζῶον, καὶ παρὰ φύσιν, σπανιώτερον τοῦ φοίνικος τοῦ παρ' Αἰθίοψιν, οἱ δὲ πάντες κακοὶ καὶ ἐπίσης ἀλλήλοις τοιοῦτοι, ὡς μηδὲν διαφέρειν ἄλλον ἄλλου, μαίνεσθαι δὲ ὁμοίως πάντας, ὅσοι μὴ σοφοὶ, πῶς οὐκ ἂν ἀθλιώτατον ζῶον πάντων ὁ ἄνθρωπος εἴη, ἔχων τήν τε κακίαν, καὶ τὸ μαίνεσθαι σύμφυτα αὐτῷ, καὶ συγκεκληρωμένα; ἀλλὰ τὰ μὲν παρὰ τὰς δεξολογίας αὐτῶν τὰς ἐν τοῖς δόγμασιν ἐξετάζειν δι' ὧν πρὸς τἀληθῆ διαφωνοῦσι, πλεῖστον παραιτητέον τὸ νῦν· ἐπανιτέον δὲ ὅθεν ἐξετραπόμεθα.

§. XXIX.

Ἐδείξαμεν δὲ ὅτι οὕτως ἐπ' αὐτῷ τῷ φρονίμῳ τὸ εἶναι τοιούτῳ, ὅτι τῆς τοιαύτης ἐξελάσεως, καὶ τῆς κτήσεως αὐτῆς αὐτὸς αἴτιος, τῷ καὶ τὸ μὴ γίνεσθαι τοιοῦτος, ἔχειν πρότερον τὴν ἐξουσίαν· τὴν μὲν οὖν ἕξιν μηκέτ' ἔχειν ἐπ' αὐτῷ, ὥσπερ οὐδὲ τῷ αὐτὸν ἀπὸ ὕψους ἀφέντι τὸ στῆναι, καίτοι τοῦ ῥῖψαι τε καὶ μὴ τὴν ἐξουσίαν ἔχοντι· ἐπ' αὐτῷ δὲ τῶν ἐνεργειῶν, ὧν τὴν ἕξιν ἔχων ἐνεργεῖ, καὶ μὴ ποιῆσαί τινα. καὶ γὰρ εἰ ὅτι μάλιστα ἄλογον, τὸ τὸν φρόνιμον κατὰ τὸν λόγον καὶ τὴν φρόνησιν ἐνεργείας ἀνενεργεῖν, πρῶτον μὲν οὐκ ἀφωρισμένως αἱ δέ τινες τοιαῦται, ἢ μέχρι τοῦ δὲ ἐνεργούμεναι, ἀλλ' ἔστιν ἐν πλάτει τινὶ πάντα τὰ γινόμενα τοῦτον τὸν τρόπον, καὶ τὸ παρὰ μικρὸν ἐν τούτοις οὐκ ἀναιρεῖ τὸ προκείμενον. ἔπειτα δὲ οὐκ κατηναγκασμένως ὁ φρόνιμος ὢν αἱρεῖταί τι πράττει, ἀλλ' ὡς καὶ τοῦ μὴ πρᾶξαί τι τούτων αὐτὸς ὢν κύριος. ἄλογον γὰρ ἂν δόξαι ποτὲ τῷ φρονίμῳ, καὶ ὑπὲρ τοῦ δεῖξαι τὸ τῶν ἐνεργειῶν ἐλεύθερον, καὶ μὴ ποιῆσαι ποτὲ τὸ γινόμενον ἂν ἀλόγως ὑπ' αὐτοῦ, εἰ προείποι τις αὐτῷ μάντις ἐξ ἀνάγκης αὐτὸν τοῦτο πράξειν. τοῦτό τοι καὶ οἱ μάντεις εἶναι λόγιοισί τε ὑφορώμενοι, φεύγοντες τοὺς παραπόδας ἐλέγχους, οὐδὲν τοιοῦτο λέγουσι τοῖς ἐλέγξαι δυναμένοις, ἀλλ' ὥσπερ τὸ τοῖς χρόνοις ὁρίζειν τῶν προλεγομένων ὑπ' αὐτῶν, ὡς ἐσομένων, ὡς εὐέλεγκτον φυλάσσονται, οὕτω φεύγουσι καὶ τὸ λέγειν τί μαντεύεσθαι τοῖς δυναμένοις παραχρῆμα τὸ ἀντικείμενον ποιῆσαι

in ejus poteſtate qui ſe deorſum miſerit, licet aut projicere ſe aut non projicere poteſtatem habuerit. Ad actiones autem quod attinet quarum facultatem habens operatur, earum aliquas poteſt & non facere. Quamvis enim maxime probabile eſt virum probum actiones ſecundum rationem & prudentiam editurum, non tamen primo hæ determinate tales ſunt, aut uſque eo procedunt, ſed in latitudine ſunt omnia quæ fiunt hoc modo, & modica variatio in talibus non tollit ſuppoſitum. Deinde non ex neceſſitate vir probus quicquam eorum quæ eligit facit, ſed tanquam is qui quodvis horum non faciendi ipſe dominus eſt. Rationi enim congruum videtur viro probo, vel ad hoc ut oſtendat actionum ſuarum libertatem, aliquando non facere id quod cum ratione ab eo fieri potuit, ſi vates quiſpiam ei prædixerit ex neceſſitate eum hoc facturum. Et hoc quidem ſuſpicantes illi qui ſe vates dicunt, & caventes ne ſtatim refellentur, nihil tale apud eos edicere ſolent, qui ipſos refellere poſſunt, ſed ſicut cavent ſollicite ne eorum quæ prædicunt ut futura aliquod definiant tempus, quando futura ſunt, cum ſit illud refelli facile, ſic & cavent ne vaticinari ſe quicquam illis nuntient, qui ſtatim contrarium illi quod vaticiticinantur facere poſſunt.

§. XXIX. Si quis autem rationi conſonum eſſe dicat Deos futura prænoſcere, quia abſurdum eſt eos futurorum quicquam ignorare, & hoc aſſumpto probare conetur per hoc, omnia ex neceſſitate fieri & ſecundum Fatum, Hoc certe nec veritati nec rationi conſentaneum eſt. Cum enim rei natura id ferat, nemo eſt quem magis rationi conſonum eſt futura ſcire quam Dii; ſed cum impoſsibile ſit futura talem prædictionem aut præſcientiam capere, neque Deos rationi congruum adhuc ſit ſcire quicquam eorum quæ ſciri nequeunt. Quæ enim impoſsibilia ſunt ſecundum ipſorum naturam, ea & apud Deos eandem naturam ſervant. Impoſsibile enim eſt & ipſis Diis facere ut Dimetiens ſit æqualis lateri, vel ut bis duo ſint quinque, vel ut ea quæ facta ſunt, non ſint facta, neque enim prorſus quicquam volunt eorum quæ ſunt impoſsibilia, (ſic enim in dictis repugnantia eſſet) ſic & pariter impoſsibile eſt illud quod in ſua natura poteſt & fieri & non fieri, ut omnimodo futurum, aut non futurum prænoſcere. Si enim præſcientia, antequam res fiant, contingentiam in iis omnem aufert, patet, ſi contingentia ſervetur, impoſsibilem fore earum rerum prænotionem.

Quod

ἦσαι τοῦ μαντεύματος.

§. XXX. Τὸ δὲ λέγειν ἄλογον εἶναι τοὺς θεοὺς τὰ ἐσόμενα προειδέναι, ἄτοπον γὰρ τὸ λέγειν ἐκείνοις ἀγνοεῖν τι τῶν ἐσομένων, καὶ τοῦτο λαμβάνοντας κατασκευάζειν πειρᾶσθαι δι' αὐτοῦ, τὸ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι, καὶ καθ' εἱμαρμένην, οὔτε ἀληθές, οὔτε ἄλογον. Τῆς μὲν γὰρ φύσεως τῆς τῶν πραγμάτων τοῦτο χωρούσης, οὐδὲν εὐλογώτερον εἰδέναι μᾶλλον τῶν θεῶν τὰ μέλλοντα. Ἀδυνάτου δ' οὔσης τὴν τοιαύτην πρόρρησιν καὶ πρόγνωσιν δέχεσθαι, οὐδὲ τοὺς θεοὺς ἄλογον ἔτι γίνεται τὸ εἰδέναι τι τῶν ἀδυνάτων. τὰ γὰρ ἀδύνατα τῇ αὐτῶν φύσει, καὶ παρὰ τοῖς θεοῖς τὴν αὐτὴν φυλάττει φύσιν. ἀδύνατον γὰρ καὶ τοῖς θεοῖς ἢ τὸ τὴν διάμετρον ποιῆσαι τῇ πλευρᾷ σύμμετρον, ἢ τὰ δὶς δύο πέντε εἶναι, ἢ τῶν γεγονότων τι μὴ γεγονέναι. οὐδὲ γὰρ τὴν ἀρχὴν βούλονταί τι τῶν ἀδυνάτων, (οὕτω γάρ ἐστιν ἐν τοῖς λεγομένοις δυχερεία) οἷς ὁμοίως ἀδύνατον καὶ τὸ ἐν τῇ οἰκείᾳ φύσει ἔχον, τὸ δύνασθαι γενέσθαι τε καὶ μή, ἐσόμενον πάντως, ἢ ὡς μὴ ἐσόμενον, οὕτω προειδέναι. εἰ γὰρ ἡ περὶ αὐτῶν πρὸ αὐτῶν πρόγνωσις ἀναιρεῖ τὸ ἐν αὐτοῖς ἐνδεχόμενον, δῆλον ὡς εἰ σώζοιτο τοῦτο, ἀδύνατος ἂν ἡ περὶ αὐτῶν πρόγνωσις εἴη.

ὅτι γὰρ καὶ εἰ κατὰ τοῦτον τοῦτο οὕτως ἔχει, δῆλον ἐκ τοῦ λαβόντας αὐτοὺς ὅτι οἱ θεοὶ προγινώσκουσι τὰ μέλλοντα, δι' αὐτοῦ κατασκευάζειν τὸ ἐξ ἀνάγκης αὐτὰ γίνεσθαι, ὡς οὐκ ἄν, εἰ μὴ οὕτω γίνοιτο, προεγνωσμένων. Εἰ δὲ τῇ τῶν θεῶν προγνώσει τε καὶ προαγορεύσει τὸ ἀναγκαῖον ἕπεται, καὶ καὶ αὐτούς, εἰ μὴ τὸ ἀναγκαῖον ἐν τοῖς γινομένοις εἴη, οὐκ ἂν καὶ αὐτοὺς οἱ θεοὶ προγινώσκοιεν τὰ μέλλοντα· ὥς τε καὶ αὐτοὶ τὴν αὐτὴν ἀδυναμίαν τοῖς θεοῖς φυλάσσουσιν, (εἴ γε καὶ ἀδυναμίαν χρὴ καὶ ἀσθένειαν λέγειν γίνεσθαι, τὸ τὰ ἀδύνατα μὴ δύνασθαι) οὐ δὴ τῷ θείῳ πλέον τι δύνασθαι διὰ τῆς προρρήσεως ἀναπλάττουσιν, ἀλλὰ διὰ τοῦ προλαμβάνειν τοῦτο, τὴν φύσιν τὴν τῶν πραγμάτων τοιαύτην εἰσάγουσιν, οὐδαμῶς ἀκόλουθα, καὶ σύμφωνα τοῖς γινομένοις τε καὶ ἐναργέσι λέγοντες. τούτων γὰρ προσχρωμένοις, ἔνεστι πάντα τὰ ἀδύνατα δεικνύναι, τῷ ἄλογον εἶναι μὴ ἀγνοεῖν αὐτὰ τοὺς θεούς· δύναται γάρ τις λαβὼν τὸ ἄτοπον εἶναι τοὺς θεοὺς μὴ εἰδέναι τὸ ἄπειρον, πόσων ἐστὶ θέμενος μέτρων, τοῦτο προσλαμβάνειν τὸ δύνατον εἶναι τὸ ἄπειρον ὡρισμένων τινῶν μέτρων· εἰ γὰρ μὴ ᾖ, οὐδ' ἂν οἱ θεοὶ ᾔδεσαν αὐτὸ πόσων ἐστὶ μέτρων.

Quod enim ex ipſorum ſententia res ſic ſe habet, ex eo manifeſtum eſt, quod ii qui Deos ſupponunt futura prænoſcere, ex eo arguant ex neceſſitate illa fieri, ut quæ ſi ita non eſſent, non poſſent prænoſci. Si vero ex Deorum præſcientia & prædictione neceſſitas inferatur, etiam ex ipſorum ſententia, ſi neceſſitas in rebus non fuerit, non quidem, ex eorum ſententia, Dii futura præſcire poſſunt. Quare & ipſi eandem impotentiam Diis relinquunt (ſiquidem impotentiæ aut infirmitati imputandum ſit quod quis non poſſit ea facere quæ ſunt impoſſibilia;) nec igitur plus potentiæ per hanc futurorum prænuntiationem Numini attribuunt, ſed quia hoc præſupponunt, ipſam rerum naturam talem introducunt, ut cum ſuppoſitione ipſorum conſentiat, nequaquam conſectanea aut conſentanea iis quæ fiunt & manifeſta ſunt dicentes. Si enim hoc argumento uti velimus, licebit etiam quæcunque impoſſibilia demonſtrare, ex eo quod rationi conſentaneum ſit Deos ea non ignorare. Si enim ſic, tunc qui ſuppoſuerit abſurdum eſſe ut Dii non ſciant quot menſuris conſtet infinitum, poteſt ſtatim aſſumere poſſe dari infinitum conſtans ex definitis quibuſdam menſuris: niſi enim ſic eſſet, neque Dii illud ſcirent quot menſuris conſtaret. Quandoquidem autem præſcire futura, ſit, qualia ſint talia ea eſſe ſcire (aliud enim eſt præſcire, aliud facere) manifeſtum eſt eum qui contingentia prænoſcit, ea ut talia prænoſcere. Non enim præſcientia eſt, illud quod contingens eſt, neceſſario futurum dicere. Quare etiam Dii contingentia ut contingentia prænoſcent, & ſic non inferetur neceſſitas ex tali præſcientia. Sic autem Deos prænunciantes audimus. Qui enim poſtquam conſilium cuivis dederint ut ea quæ oportet eligat & faciat, prædicunt, non illa quæ prædicunt ut neceſſaria futura prædicunt. In univerſum autem, ſi omnia quæ ſunt poſsibilia, Diis poſsibilia eſſe dicant, ſint autem & impoſsibilia illis poſsibilia, tum concludi non poterit ex ipſorum de futuris præſcientia, omnia quæ fiunt neceſſario fieri. Si autem conceſſerint impoſsibilia etiam Diis eſſe impoſsibilia, primo quidem oſtendere debent poſſibilem eſſe hanc præſcientiam, dein ſic eam Diis adſcribere. Neque enim ex ſe manifeſtum eſt, neque ex iis quæ fiunt in confeſſo, Deos talem de futuris præſcientiam habere. Nos igitur neque divinationem tollimus, neque præſcientiam Deorum, qui ut ſe res habent in natura ſua, ſic eos de iis prædicere dicimus.

§.XXXI.

τρῶν. ἐπεὶ δὲ, εἰ τὸ προγινώσκειν τὰ μέλλοντά ἐστι, τὸ ὁποῖά ἐστι, τοιαῦτα αὐτὰ γνωρίζειν ὄντα, ἄλλο γὰρ τὸ προγινώσκειν τοῦ ποιεῖν, δῆλον ὅτι τὰ ἐνδεχόμενα προγινώσκων, ὡς τοιαῦτα προγινώσεται. οὐ γὰρ πρόγνωσις τὸ τὸ ἐνδεχόμενον ὡς ἐσόμενον ἀναγκαίως ἐπίστασθαι λέγειν. ὥστε καὶ οἱ θεοὶ τὰ ἐνδεχόμενα ὡς ἐνδεχόμενα ἂν προγινώσκοιεν, ᾧ οὐ πάντως ἀκολουθήσει τὸ ἀναγκαῖον διὰ τὴν τοιαύτην πρόγνωσιν. οὕτω δὲ καὶ προλεγόντων ἀκούομεν. Οἱ γὰρ, μετὰ τοῦ συμβουλεύειν τινὰ αἱρεῖσθαί τε, καὶ πράττειν ἃ χρὴ, προλέγοντες, οὐχ ὡς ἐξ ἀνάγκης ἐσομένων περὶ ὧν προλέγουσιν. καθόλου δὲ εἰ μὲν πάντα τὰ δυνατὰ τοῖς θεοῖς δυνατὰ φασὶν εἶναι, ἔσται δὲ καὶ τὰ ἀδύνατα ἐκείνοις δυνατὰ, οὐ μὴν δειχθήσεται διὰ τῆς ἐκείνων περὶ τῶν μελλόντων προγνώσεως, τὸ πάντα ἐξ ἀνάγκης τὰ γινόμενα γίνεσθαι. εἰ δὲ συγχωροῦσι τὰ ἀδύνατα καὶ τοῖς θεοῖς εἶναι τοιαῦτα, πρῶτον μὲν αὐτοὺς χρὴ δεικνύναι δυνατὴν εἶναι τὴν τοιάνδε πρόγνωσιν, εἶθ' οὕτως αὐτὴν ἀνατιθέναι τοῖς θεοῖς· οὔτε γὰρ ἐναργὲς, οὔτε ὑπὸ τῶν γινομένων ὁμολογούμενον, τὸ τοιαύτην τὴν περὶ τῶν μελλόντων πρόγνωσιν ποιεῖσθαι τοὺς θεούς. ἡμεῖς μὲν οὖν οὔτε ἀναιροῦμεν μαντικὴν, οὔτε τὴν πρόγνωσιν τῶν θεῶν, ὡς ἔχει φύσεως τὰ πράγματα, οὕτως αὐτοὺς περὶ αὐτῶν προλέγειν λέγοντες.

§. XXXI. Ἀλλ' οὐδὲ ἀφαιρούμεθα τῶν ἀνθρώπων τὸ ἀπὸ μαντικῆς χρήσιμον, ὃ γίνεται τῷ δύνασθαί τινα καὶ φυλάξασθαί τι, μὴ φυλαξάμενον ἂν μὴ συμβουλεύσαντος τοῦ θεοῦ. Οἱ δὲ ὑμνοῦντες τὴν μαντικὴν, καὶ κατὰ τὸν αὐτῶν λόγον μόνον σώζεσθαι λέγοντες αὐτὴν, καὶ ταύτῃ πίστει τῷ πάντα καθ' εἱμαρμένην γίνεσθαι χρώμενοι, πρὸς τῷ μηδὲν ἀληθὲς λέγειν, προσέτι καὶ ἄτοπά τινα, καὶ ἀλλότρια παντάπασι θεῶν περὶ αὐτῶν τολμῶσι λέγειν. Πῶς γὰρ οὐκ ἄτοπα τὰ περὶ αὐτῶν ὑπ' αὐτῶν λεγόμενα; ἀπορούντων γάρ τινων πρὸς αὐτοὺς, τί δή ποτε, εἰ πάντα τὰ γινόμενα ἐξ ἀνάγκης γίνεται, αἱ παρὰ τῶν θεῶν μαντεῖαι μετὰ γίνονται συμβουλαῖς ἐοικυῖαι, ὡς δυναμένων διὸ ἤκουσαν καὶ φυλάξασθαί τι καὶ ποιῆσαι τῶν ἀκουσάντων, καὶ δὴ καὶ τὸν τῷ Λαΐῳ δοθέντα χρησμὸν παρατιθεμένων, δι' οὗ λέγει πρὸς αὐτὸν ὁ Πύθιος, περὶ τοῦ μὴ δεῖν παιδοποιεῖσθαι, εἰ γὰρ φυτεύσεις παῖδα, ἀποκτενεῖ σ' ὁ φὺς, καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος, φασὶν, ὡς κρύπτειν τὰ συγγράμματα αὐτῶν, οὕτως αὐτὸν χρῆσαι, μὴ ὡς οὐκ εἰδότα ὅτι μὴ πεισθήσεται (πάντως γὰρ μᾶλλον ᾔδει) ἀλλ' ὅτι μηδὲν μετὰ αὐτοῦ τοιοῦτον χρήσαντος, οὐδὲν ἔμελλε τῶν κατὰ τὴν περιπέτειαν τῶν περὶ τὸν Λάϊόν τε καὶ τὸν Οἰδίπουν γινομένων γίνεσθαι· οὔτε γὰρ ἂν ἐξέθηκεν ὁ Λάϊος τὸν γενόμενον αὐτῷ παῖδα, ὡς ἐξέθηκεν,

§. XXXI. Sed neque utilitatem tollimus quæ hominibus a Divinatione exurgit, ex eo quod poſsit quiſpiam cavere illud, quod niſi conſulente Deo cauturus non erat. Qui autem divinationem celebrant, & ſola ipſorum ratione eam defendi poſſe dicunt, & hoc argumento utuntur, quo perſuadeant omnia Fato fieri, præterquam quod nihil verum dicant, multa inſuper abſurda & omnino aliena de Diis ipſis dicere audent. Quomodo enim non ſunt abſurda, quæ ab iis dicuntur? Cum enim aliqui iis dubium proponunt, quare, ſi omnia quæ fiunt neceſsitate fiant, Divinationes a Deo per modum conſiliorum dentur, quas ii qui audiverint, ex eo quod audiverint poſſunt quicquam & cavere & facere, & ad hoc adducunt oraculum Laio datum, quo Apollo eum monet, ne liberos procreet, ſi enim, inquit, filium feres, qui naſcitur te occidet, & univerſa domus tibi ſanguine implebitur, Reſpondent, ut ipſorum ſcripta proclamant, eum ſic oraculum dediſſe, non quaſi neſciret eum monitis non obſecuturum (id enim omnino ſciebat) ſed quia ſi illi nullum tale oraculum edidiſſet, nihil eorum factum fuiſſet quæ circa Laium & Oedipum evenerunt. Neque enim Laius expoſuerat filium ſibi natum, ſicut expoſuit, neque filius a bubulco ablatus, datuſque Corinthiaco Polybo in adoptionem fuiſſet, neque vir factus & in Laium in via incidens, & ignorans & incognitus eum occiderat. Non enim ſi filius in ipſius domo enutritus fuiſſet, parentes ſic ignorare potuit, ut unum eorum occideret, alteram ſibi conjugem faceret. Ut igitur hæc omnia conſiſterent, & fatalis fabula impleretur, cogitationem Deus per oraculum Laio injecit, quaſi prædicta effugere poſſet, & cum inebriatus prolem genuiſſet, natum filium expoſuit ut occiſurus. Quæ expoſitio cauſa facta eſt omnium ſcelerum quæ ſequuntur in hiſtoria. Deinde qui talia dicit, quomodo aut divinationem defendit, aut communes notiones ad Deorum cultum pertinentes docet, aut divinationem ad quidvis utilem oſtendit? Divinatio enim eſt futurorum pronunciatio. Hi vero Apollinem eorum quæ prænunciat authorem faciunt. Quod enim non ſic fieret niſi Deus tali modo prænunciaret, & ideo ſic prænuncavit ut fiant ea quæ in ipſorum poteſtate fuerunt, quomodo non eſt opus oraculum dantis, & non enunciatio futurorum? Quod ſi aliquid amplius diis competere debeat quam cæteris vatibus, ſic ut ii cooperentur futuris, ut ſic fiat quod opem eorum adeptum fuerit,

θηκεν, ὥστ' ἀναιρεθεὶς ὁ παῖς ὑπὸ τοῦ βουκόλου, καὶ δοθεὶς πρὸς εἰσποίησιν τῷ Κορινθίῳ Πολύβῳ, ἀνδρωθεὶς, καὶ περιτυχὼν τῷ Λαΐῳ κατὰ τὴν ὁδὸν, ἀγνοῶν τε καὶ ἀγνοούμενος ἀπέκτεινεν αὐτόν. οὐ γὰρ ἄν ποτε ὡς υἱὸς ἔνδον παρ' αὐτὸν τρεφόμενος ἠγνόησε τοὺς γονεῖς, ὡς τὸν μὲν αὐτῶν ἀποκτεῖναι, τὴν δὲ ἀγαγέσθαι πρὸς γάμον. Ὅπως οὖν ταῦτα πάντα σωθῇ, καὶ πληρωθῇ τὸ τῆς εἱμαρμένης δρᾶμα, φαντασίαν ὁ θεὸς διὰ τοῦ χρησμοῦ τῷ Λαΐῳ παρέσχεν, ὡς δυναμένῳ φυλάξασθαι τὰ λεγόμενα, καὶ ἐπεὶ μεθυσθεὶς ἐπαιδοποιήσατο, ἐξέθηκε τὸ γενόμενον παιδίον, ὡς διαφθερῶν, ἥτις ἔκθεσις αἰτία τῶν ἀνοσίων μύθων ἐγένετο. Εἶτα τίς ταῦτα λέγων, πῶς ἢ σώζει μαντικὴν, ἢ περὶ θεῶν εὐσεβείας διδάσκει προλήψεις, ἢ χρήσιμόν τι δείκνυσιν ἔχουσαν τὴν μαντικήν; οὐ μὲν γὰρ μαντικὴ δοκεῖ τῶν μελλόντων προαγόρευσις εἶναι, οἱ δὲ τὸν Ἀπόλλω ποιητὴν ὧν προαγορεύει ποιοῦσιν. ὃ γὰρ οὐκ ἂν οὕτως ἐγίνετο, μὴ τοῦτον τὸν τρόπον χρήσαντος τοῦ θεοῦ, καὶ διὰ τοῦτο οὕτως ἔχρησεν, ὅπως γένηται τὰ ἐπ' αὐτοῖς γενόμενα, πῶς οὐκ ἔργα τοῦ χρήσαντος, ἀλλ' οὐ μηνύσεις τῶν ἐσομένων; ἀλλ' εἰ καὶ δεῖ πλέον τι τῶν ἄλλων μαντέων ἔχειν τοὺς θεοὺς, ὡς καὶ συμπράσσειν τοῖς ἐσομένοις πρὸς τὸ γίνεσθαι συνεργούμενον, γενόμενον, καὶ γὰρ οἱ ποιηταὶ τοῦτό γε περὶ θεῶν ὑμνοῦντες διατελοῦσιν, ὅτι ἄρα εἰσὶ δοτῆρες ἐάων, κατὰ δὲ τὰ ὑπὸ τούτων λεγόμενα, εἰς ἀγαθὸν μὲν οὐδὲν ὁ Πύθιος τῷ Λαΐῳ συντελεῖ, ἀγωνίζεται γὰρ καὶ πάντα πράττει πρὸς τὸ μηδὲν τῶν ἀνοσιωτάτων τε καὶ ἀσεβεστάτων παρελθεῖν τὸν οἶκον αὐτοῦ, ὧν ἀκούσας τίς οὐκ ἂν εὐσεβεστέραν εἴποι τὴν λεγομένην ὑπὸ τῶν περὶ Ἐπίκουρον ἀπρονοησίαν τῆς τοιαύτης προνοίας; πῶς δὲ συνῳδὰ ἀλλήλοις, τὸ ὁμοῦ μὲν θεὸν λέγειν τὴν εἱμαρμένην, καὶ χρῆσθαι τοῖς οὖσί τε καὶ γινομένοις ἐν τῷ κόσμῳ ἐπὶ σωτηρίᾳ αὐτοῦ τε τοῦ κόσμου, καὶ τῆς τῶν ἐν αὐτῷ τάξεως, ὁμοῦ δὲ τοιαῦτα περὶ αὐτῆς λέγειν, ὡς παραλαμβάνειν πρὸς τὰς πράξεις τὰς ἀνοσιωτάτοις, διὰ τὴν περὶ αὐτὰ σπουδὴν, καὶ τὸν Πύθιον συνεργόν; ἐπὶ τίνων γὰρ σωτηρίᾳ ἐροῦσι χρῆσθαι τὴν εἱμαρμένην πατρὸς ὑπὸ παιδὸς ἀναιρέσει; καὶ γάμῳ μητρὸς καὶ παιδὸς ἀνοσίῳ; καὶ φύσει παίδων ἀδελφῶν καὶ πατρί; τί τῆς ἐν κόσμῳ διοικήσεως ἐκ τούτων ἔχειν εὔλογον τὴν σωτηρίαν, ὡς καὶ τὸν Ἀπόλλω φοβεῖσθαι μή τι παρέλθῃ τούτων ἄπρακτον; πότερον ἐμπόδια μὴ γινόμενα τῇ τῶν ἀνθρώπων κατὰ πόλεις τε καὶ νόμοις οἰκήσει; ἢ τῇ τῶν στοιχείων τοῦ κόσμου σωτηρίᾳ; ἢ τῇ τῶν θείων εὐτάκ-

fuerit (nam Poetæ cum Deos ſuos celebrent, conſtanter de iis aſſerunt quod ſint bonorum datores) ſed ſecundum ea quæ ab his dicuntur, Apollo Laio nihil conferat ad bonum, contendit enim & omnia ad id facit, ne quicquam eorum quæ ſceleratiſſima ſunt & maxime deteſtanda domum ejus prætereat. Hæc qui audierit, nonne Epicuri ſententiam qua providentia Dei aufertur, magis piam dicturus eſt quam ſit talis providentia? Quomodo autem hæc inter ſe concinunt, Fatum Deum aſſerere, eumque uti iis & quæ ſunt & quæ fiunt in mundo ad conſervationem ipſius mundi, & ordinis eorum quæ in ipſo ſunt, ſimulque de Fato talia dicere, Quod ſcilicet aſſumat ad actiones ſceleratiſſimas, ob ingens erga eas ſtudium, cooperarium Apollinem? Quæ enim ſunt iſtæ res ad quarum defenſionem dicturi ſunt Fatum patre uti ad auferendum filium, & matris filiique nuptiis incertis; & filiorum generatione qui ſint patri fratres? Quid eſt inter hæc quod cum ratione credi poſſet ad conſervandam mundi gubernationem conducere, ſic ut Apollo ipſe timeat ne quid eorum infectum prætermittatur? Num ſi hæc non fiant, nocitura ſunt hominum per urbes & regiones habitationi, aut incolumitati elementorum mundi, aut divinorum bene ordinatæ & perpetuæ circumvolutationi, aut cuivis eorum ex quibus mundus conſiſtit & gubernatur ſecundum rationem? Manifeſtum autem eſt, quod ſi aliam dein fabulam audiverint a quovis Tragicorum, quibus ſolenne eſt talia fingere, ſcilicet aut mulierem aliquam zelotypia perculſam alienis liberis inſidiari, ſuos vero occidere, aut Thyeſtem aliquem, infelicem ſenem, liberorum ſuorum carnibus veſci, Atreo ſcilicet fratre ipſius tales illi epulas apponente, his etiam fabulis tanquam rebus geſtis fidem habituri ſunt, & Fatum & Providentiam per illas confirmaturi, tanquam propoſitum ipſis eſſet ea quæ confirmare cupiunt, per ea ipſa quibus ad confirmationem utuntur deſtruere. Quamvis multo ſatius & cordatius eſſet hypotheſes tollere propter abſurditatem eorum quæ iis conſequentia ſunt, quam iis quæ ita abſurda ſunt adhærere propter hypotheſes. At illi abſurdiſſima quæque facile credunt, & ea ſecundum rationem fieri cauſas aliquas comminiſci non gravantur.

§. XXXII. Sed de his & talibus ſatis. Sufficit in unaquaquaque materia oſtendiſſe abſurditatem hujus ſententiæ. Satis autem arbitror illuceſcere quomodo ſit in prudentis viri poteſtate prudentia, quanquam non poſſit nunc prudens non

τοῦ τε καὶ ἀϊδίῳ περιφορᾷ; ἢ τίνι τῶν ἐξ ὧν τὸν κόσμον συνεστάναι τε καὶ διοικεῖσθαι κατὰ λόγον συμβέβηκεν; δῆλον δ' ὅτι κἂν ἄλλόν τινα μῦθον πάλιν ἀκούσωσιν παρά τινος τῶν τραγῳδοποιῶν, οἷς ἔργον τὰ τοιαῦτα πλάσματα, ἢ γυναῖκά τινα διὰ ζηλοτυπίαν ἐπιβουλεύσασαν μὲν ἀλλοτρίοις τέκνοις, ἀποκτείνασαν δὲ τὰ ἑαυτῆς, ἢ Θυέστην τινὰ δυστυχῆ γέροντα, τῶν σαρκῶν τῶν παίδων αὐτοῦ ἐσθίοντα, Ἀτρέως τινὸς ἀδελφοῦ τοιαύτην παραθέντος αὐτῷ τράπεζαν, πεισθῶσι δὲ τοῖς μύθοις ὡς γεγονόσι, καὶ τὴν εἱμαρμένην τε καὶ πρόνοιαν δι' αὐτῶν κατασκευάζωσιν, ὥσπερ ἔργον ποιούμενοι ἃ βούλονται κατασκευάζειν δι' αὐτῶν τῶν κατασκευῶν ἀναιρεῖν. καίτοι μακρῷ βέλτιον ἦν καὶ εὐγνωμονέστερον, ἀναιρεῖν τὰς ὑποθέσεις διὰ τὴν τῶν ἑπομένων αὐταῖς ἀτοπίαν, οὐ τοῖς οὕτως ἀτόποις διὰ τὰς ὑποθέσεις παρίστασθαι. οἱ δὲ καὶ πιστεύουσι τοῖς ἀτοπωτάτοις ῥᾳδίως, καὶ τοῦ κατὰ λόγον αὐτὰ γενέσθαι αἰτίας τινὰς λέγειν οὐκ ὀκνοῦσιν.

Ἀλλὰ περὶ μὲν τούτων ἅλις. Ἱκανὸν §. XXXII. γὰρ ἐφ' ἑκάστου τὸ ἐνδείξασθαι τὴν τῆς δόξης ἀτοπίαν. Ἱκανῶς δ' οἶμαι δεδηλῶσθαι πῶς λέγεται τὸ ἐπὶ τοῦ φρονίμου εἶναι τὸ φρονεῖν, καίτοι μὴ δυναμένῳ τὸ οὐ φρονεῖν. οὐ γὰρ ὅτι νῦν ὅτε ἐστὶ φρόνιμος ἐπ' αὐτῷ τὸ εἶναι τοιούτῳ, ἦν γὰρ ἂν καὶ τοῦ νῦν μὴ φρονεῖν κύριος, ἀλλ' ὅτι πρὸ τοῦ τοιοῦτος γενέσθαι, εἶχεν ὥσπερ δὲ τοῦ γενέσθαι, οὕτω δὲ καὶ τοῦ μὴ γενέσθαι τοιοῦτος τὴν ἐξουσίαν, καὶ δι' ἣν προειρήκαμεν αἰτίαν πρὸς τὸ γενέσθαι τοιοῦτος συνήργησεν αὐτῷ. ἐπὶ δὲ τῶν θεῶν οὐκέτ' ἂν τὸ εἶναι τοιούτοις, (ὅπερ ἦν καὶ αὐτὸ ἐν τοῖς ὑπ' αὐτῶν ἀπορουμένοις) ὅτι γάρ ἐστιν αὐτῶν ἐν τῇ φύσει τοιοῦτον, οὐδὲν δὲ τῶν οὕτως ὑπαρχόντων, ἐπ' αὐτῷ. Διὰ τοῦτο γὰρ τὰ μὲν ἐκείνων ἀγαθὰ τίμιά τε, καὶ μακαριστὰ, μεῖζόν τι τῶν ἐπαινετῶν ἀγαθῶν ἔχοντα, ὅτι τὴν ἀρχὴν ἡ φύσις αὐτῶν ἀνεπίδεκτός ἐστιν, ἡμεῖς δὲ ἐπὶ τῇ κτήσει τῶν ἀρετῶν ἐπαινούμεθα, ὅτι τῆς φύσεως ἡμῶν ἐπιδεκτικῆς οὔσης καὶ τοῦ χείρονος, οὐκ ὠκνήσαμεν πρὸς τὰ βελτίω, καὶ τῶν μὲν χειρόνων ἀνιδρωτὶ καὶ χωρὶς καμάτων περιγίνεσθαι δοκούντων, τῆς δὲ ἀρετῆς μετὰ πόνων τε, καὶ μετὰ καμάτων, καὶ πολλῶν ἱδρώτων. Ἔχει μέν τι καὶ ὁ φρόνιμος ἐπὶ τῶν καθέκαστα πράξεων τοῦ καὶ μὴ πράττειν αὐτὰς τὴν ἐξουσίαν, εἴποτε κἀκείνοις πράξεις τινὲς γίνοιντο περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν. οὐ γὰρ ἀφῄρηται τὴν ἐξουσίαν, οὔτε ὁ Πύθιος τοῦ πρὸ αὐτῷ χρῆσθαι τε καὶ

μὴ,

non eſſe. Non quod nunc cum probus ſit, in ejus poteſtate ſit ut talis ſit, tunc enim & haberet in poteſtate ſua ut nunc non ſit prudens, ſed quod priuſquam talis factus fuerit, poteſtatem habuerit vel fieri vel non fieri talis, & propter eam quam prædiximus cauſam ſibi cooperatus ſit ut talis fieret. In Deorum autem poteſtate jam amplius non eſt ut tales fiant (quod unum erat inter ea quæ ab illis objiciebantur.) Eſt enim in eorum natura quod tales ſunt: Nihil autem eorum quæ natura ſunt in cujuſvis poteſtate eſt. Quamobrem bona eorum honorabilia ſunt, & ea ob quæ beati pronunciandi ſunt, cum majus aliquod in ſe habeant quam bona laude digna, quia natura ipſorum talis prorſus eſt ut additionis capax non ſit. Nos autem ob adeptionem virtutum laudamur, quia cum natura noſtra pejoris etiam ſuſceptiva ſit, non gravemur provehi ad meliora, & cum pejora ſine ſudore & laboribus obtineri poſſint, virtus autem cum laboribus & moleſtiis & ſudoribus multis. Habet interim probus in particularibus actionibus poteſtatem eas non faciendi, ſi quando actiones aliquæ fiant circa ea quæ etiam aliter ſe habere poſſunt. Neque enim poteſtatem hanc ademit vel Apollo oracula dando aut non dando, vel Æſculapius nobis præſidendo. Omnes igitur ferme homines ad eum confugiunt, ubi maxime præſens apparet, ut qui ſibi perſuaſum habeant iis potius qui eum habere deſiderant ſeipſum indulturum, quam iis qui eum non cupiunt.

§. XXXIII. Quod autem dicunt illi, eos qui non putant ex eo quod defenditur animantium motio ex appetitu, poteſtatem noſtram ſartam tectam ſervari, non exiſtimare omne quod ex appetitu fit in poteſtate appetentium eſſe, ideoque interrogant, annon quædam actiones ſecundum appetitum ſint, quædam non, idque ut datum ſumentes, dein huic adjiciunt neque operationum quamlibet quæ non ſit ex appetitu, eſſe in noſtra poteſtate, & hoc etiam conceſſo, deinde addunt, Omne quod ex appetitu fit in poteſtate agentium eſſe, quandoquidem id non reperitur in quovis eorum quæ alio modo fiunt, ideoque dicunt talem libertatem aut poteſtatem noſtram ex ſententia ſua defendi, ſcilicet ut res poſsit fieri vel non, ita enim rem ſe habere in iis quæ ſecundum appetitum fiunt, Quæ ſunt hæc omnia niſi verba eorum qui omnino ignorant ea de quibus loquuntur? Non enim ſi concedatur, propter ea quæ dicunt, in iis quæ ex appetitu fiunt conſiſtere ea quæ in poteſtate noſtra ſunt, ſtatim omne quod ex appetitu fit in noſtra poteſtate eſt.

Hæc

μὴ, οὔτε ὁ Ἀσκληπιὸς τοῦ προΐστασθαι. πάντες γοῦν σχεδὸν ἄνθρωποι καταφεύγουσιν ἐπ' αὐτὸν, ἔνθα ἂν ἐπιφανέστατος ᾖ, πεπιστευκότες ὅτι τοῖς σπουδάζουσιν αὐτοῦ ἔχειν ἰατρὸν μᾶλλον τῶν οὐ σπουδαζόντων ἐπιδίδωσιν αὐτόν.

§. XXXIII Τὸ δὲ λέγειν ἡγεῖσθαι τοὺς οὐχ ἡγουμένους ἐν τῷ σώζεσθαι τὴν κατ' ὁρμὴν τῶν ζώων ἐνέργειαν, ἤδη σώζεσθαι καὶ τὸ ἐφ' ἡμῖν, τὸ μὴ πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς ὁρμῶσιν εἶναι, καὶ διὰ τοῦτο ἐρωτᾷν, εἰ μὴ τῶν ἐνεργημάτων τὰ μὲν εἶναι δοκεῖ καθ' ὁρμὴν, τὰ δ' οὐ καθ' ὁρμὴν, ὃ λαβόντας πάλιν προστεθεῖναι τούτῳ, τὸ μήτε τῶν ἐνεργημάτων μὲν, μὴ καθ' ὁρμὴν δὲ, εἶναί τι ἐφ' ἡμῖν. καὶ αὐτοῦ συγχωρουμένου ἐπὶ τούτοις λαμβάνειν, τὸ πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς οὕτως ἐνεργοῦσιν εἶναι, ἐπειδὴ ἐν μηδενὶ τῶν ἄλλως ἐνεργουμένων ἐστὶ, καὶ διὰ τούτου λέγειν σώζεσθαι κατ' αὐτοὺς καὶ τὸ τοιοῦτον ἐφ' ἡμῖν, ὃ δυνατὸν ὑφ' ἡμῶν γενέσθαί τε καὶ μὴ, εἶναι δὴ καὶ τὰ οὕτω γινόμενα ἐν τοῖς καθ' ὁρμὴν γινομένοις, ἔστι πῶς οὐ παντάπασιν ἀγνοούντων ταῦτα πρὸς ἃ ποιοῦνται τοὺς λόγους; οὐ γὰρ εἰ ἐν τοῖς καθ' ὁρμὴν ἐνεργουμένοις τὸ ἐφ' ἡμῖν εἶναι συγκεχώρηται διὰ τοῦ λόγου, ἤδη πᾶν τὸ καθ' ὁρμὴν ἐνεργούμενον ἐφ' ἡμῖν. ταῦτα γὰρ μόνα τῶν καθ' ὁρμὴν γινομένων τὸ ἐφ' ἡμῖν ἔχει, ὅσα κατὰ λογικὴν ὁρμὴν ἐνεργεῖται. λογικὴ δ' ἐστὶν ὁρμὴ ἐν τοῖς βουλευτικοῖς καὶ προαιρετικοῖς γινομένη, τουτέστιν ἡ τῶν ἀνθρώπων, ὅταν ἐπὶ τούτοις γίνηται· τῶν γὰρ ἄλλων ζώων αἱ καθ' ὁρμὴν ἐνέργειαι οὐ τοιαῦται, ὅτι μηκέτ' ἐν ἐκείνοις ἐξουσία τοῦ καὶ μή τι ποιῆσαι τὸ καθ' ὁρμὴν ἐνεργούμενον. διὸ ἐν ταῖς καθ' ὁρμὴν ἐνεργείαις τὸ ἐφ' ἡμῖν, οὐ μὴν διὰ τοῦτο πᾶσα καθ' ὁρμὴν ἐνέργεια γινομένη τὸ ἐφ' ἡμῖν ἔχει.

XXXIV. Πῶς δ' οὐκ ἀγνοούντων τὰ ὑφ' αὑτῶν γινόμενα τὸ τῇ ἀληθείᾳ τῶν γινομένων, ἣν ἀναιροῦσι διὰ τοῦ δόγματος, αὐτῇ κεχρῆσθαι πρὸς κατασκευὴν τοῦ ἀναιροῦντος αὐτὴν δόγματος; Λαβόντες γὰρ τὸ ἕκαστον τῶν συνεστώτων φύσει καθ' εἱμαρμένην εἶναι τοιοῦτον ὁποῖόν ἐστι, ὡς ταὐτοῦ ὄντος τοῦ τε φύσει καὶ τοῦ καθ' εἱμαρμένην, προστεθείκασι τὸ, οὐκοῦν κατὰ τὴν εἱμαρμένην καὶ αἰσθήσεται τὰ ζῶα, καὶ ὁρμήσει· καὶ τὰ μὲν τῶν ζώων ἐνεργήσει μόνον, τὰ δὲ πράξει τὰ λογικὰ, καὶ τὰ μὲν ἁμαρτήσεται, τὰ δὲ κατορθώσει. ταῦτα γὰρ τούτοις κατὰ φύσιν μέν. ὄντων δὲ καὶ ἁμαρτημάτων καὶ κατορθωμάτων, καὶ τῶν τοιούτων φύσεων, καὶ ποιοτήτων μὴ ἀγνοουμένων, καὶ ἔπαινοι, καὶ ψόγοι, καὶ κολάσεις,

Hæc enim ſola inter ea quæ ex appetitu fiunt, id habent quod in noſtra poteſtate eſt, quæ ex appetitu rationali fiunt. Rationalis autem appetitus eſt in iis quæ per conſilium & deliberationem fiunt, id eſt hominum proprius, cum ex iſtis fiat. Aliorum enim animalium actiones ex appetitu non ſunt tales, cum in illis non ſit poteſtas etiam non faciendi ea quæ per appetitum fiunt. Quare in actionibus ſecundum appetitum eſt id quod in poteſtate noſtra eſt, at non idcirco omnis ex appetitu actio in ſe habet id quod in poteſtate noſtra eſt.

§. XXXIV. Nonne igitur eſt ea quæ ipſis fiunt ignorantium, veritatem eorum quæ fiunt, quam per ſententiam ſuam deſtruunt, uti ad confirmationem ſententiæ illius quæ illam tollit? Supponentes enim unumquodque eorum quæ natura conſiſtunt tale per fatum eſſe quale eſt, quaſi idem ſit id quod natura cum eo quod Fato eſt, adjiciunt, igitur & animalia ex Fato ſentient & appetent: Et quædam animalia operabuntur tantum, alia rationaliter agent, & quædam peccabunt, quædam recte facient, hæc enim illis ex natura ſunt. Cum vero ſint & peccata & recte facta, & tales naturæ & qualitates non ignorentur, hinc oriuntur laudes & vituperia, ſupplicia, & præmia. Hæc enim ad ſe invicem conſequentiam & ordinem habent. At non ſequitur hoc ita fieri iis qui naturam & ea quæ natura fiunt ad Fatum & neceſſitatem transferunt. Eſt enim naturale rationalibus & activis animalibus, poſſe & peccare & recte facere, eo quod neutrum faciunt ex neceſſitate. Et hoc verum eſt, & hoc modo ſe habet, ſed non quod dicunt, nos omnia quæ facimus Fato facere, & tamen aliquos eorum qui rationaliter operantur recte facere, aliquos vero peccare, ſic tamen ut ex neceſſitate omnia faciamus. Secundum eos enim impoſſibile eſt in talibus circumſtantiis nos non agere, tales autem circumſtantiæ neceſſario nobis circumſtant. Non enim eum recte facere dicet quiſquam, qui aliquid gratum quovis modo fecerit, ut nec peccare qui aliquid malum quovis modo faciat, ſed quocunque modo aliquis in poteſtate ſua exiſtens aut pejora aut meliora eligit & facit, talem dicimus recte facere. Qui igitur hæc ipſa caſu facit, non eum dicimus recte facere, cum recte facere judicetur non tantum ex factis, ſed multo prius ex habitu & poteſtate qua fiunt. Et eadem ratio eſt etiam in peccatis. Quibus vero potentia alia aliqua faciendi præter ea quæ faciunt aufertur per

κολάσεις, καὶ τιμαί. ταῦτα γὰρ οὕτως ἔχει ἀκολουθίας τε καὶ τάξεως· οὐ μὴν ἀκολουθεῖ ἐπὶ ταῦτα τοῦτον γίνεσθαι τὸν τρόπον τοῖς τὴν φύσιν τε καὶ τὰ γινόμενα κατὰ φύσιν εἰς τὴν εἱμαρμένην τε καὶ τὴν ἀνάγκην μεταφέρουσιν. κατὰ φύσιν μὲν γὰρ τοῖς πρακτικοῖς τε καὶ λογικοῖς ζώοις τὸ καὶ ἁμαρτάνειν καὶ κατορθοῦν δύνασθαι, τῷ μηδέτερον αὐτῶν ποιεῖν κατηναγκασμένως. Καὶ τοῦτ' ἀληθὲς ὅτι καὶ τοῦτον ἔχει τὸν τρόπον, οὐ μέντοι γε ὅτι πάντα ἃ ποιοῦμεν ἐξ ἀνάγκης ἡμᾶς ποιεῖν λέγουσιν, ἔπειτα τοὺς μὲν κατορθοῦν τῶν λογικῶς ἐνεργούντων, τοὺς δὲ ἁμαρτάνειν, ἐξ ἀνάγκης δὲ πάντα ποιοῦμεν· καθ' οὓς ἀδύνατον μὲν τῶν δέ τινων περιεστώτων μὴ πράσσειν ἡμᾶς, τὰ δ' ἐξ ἀνάγκης ἡμᾶς ἀεὶ προαιρεῖσθαι ταῦτα δι' ἃ πράσσομεν· οὐ γὰρ τὸν ὁπωσοῦν χαρίεν ποιοῦντα κατορθοῦν τις λέγει, ἀλλ' οὐδ' ἁμαρτάνειν τὸν ὁπωσοῦν φαῦλόν τι πράττοντα ἀλλ' ὁπωσοῦν ἐν ἐξουσίᾳ τις ὢν τῶν χειρόνων αἱρεῖται καὶ πράσσει ἢ τὰ βελτίω, τοῦτον λέγομεν κατορθοῦν. Τὸν γοῦν τὰ αὐτὰ ταῦτα ἀπὸ τύχης ποιήσαντα οὐκέτι λέγομεν κατορθοῦν, ὡς τοῦ κατορθοῦν τὴν κρίσιν οὐκ ἀπὸ τῶν πραττομένων ἔχοντος μόνον, ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς ἕξεώς τε καὶ δυνάμεως ἀφ' ἧς πράσσεται. Καὶ ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἁμαρτημάτων. Οἷς δὲ ἡ ἐξουσία τοῦ πράττειν ἀλλά τινα παρ' ἃ πράττουσιν

ὑπὸ τῶν περιεστώτων ἀφῄρηται, οὐδὲν αὐτοῖς συντελοῦσιν εἰς τὸ τὰ αὐτοῖς περιεστάναι δι' ἃ πράττουσιν, πῶς ἂν ἔτι τούτοις τις ἢ ἁμαρτάνειν, ἢ κατορθοῦν λέγοι; οὔτε γὰρ τῆς τοιαύτης ἕξεως ἀφ' ἧς, τῶν δέ τινων περιεστώτων, περὶ τὸ τὰ δέ τινα πράττειν ὁρμὴ γίνεται, αὐτός ἐστιν ἐν ἐξουσίᾳ, οὔτε τοῦ τὰ περιεστῶτα τοιαῦτα εἶναι. Διὰ τοῦτο γὰρ τῶν ἀλόγων ζῴων οὐδὲν τούτων κατηγορεῖται. ἀγόμενος δὲ ἐπὶ τὸ πράττειν ὑπό τε ἕξεως καὶ περιεστώτων τινων, μηδενὸς κύριος αὐτὸς τοῦ μὴ τοῦτον ἔχειν τὸν τρόπον, οὐδ' ἂν ἁμαρτάνειν ἔτι, ἢ κατορθοῦν ἐπὶ τοῖς οὕτω πραττομένοις λέγοιτο. ἐπεὶ δὲ οἵ τε ἔπαινοι καὶ ψόγοι, κολάσεις τε καὶ τιμαὶ ἐπὶ τοῖς ἁμαρτήμασί τε καὶ κατορθώμασιν, ὡς καὶ αὐτοὶ λέγουσιν, δῆλον ὡς ἀναιρουμένων τούτων, ἀναιρεῖτ' ἂν κἀκείνων ἕκαστον. τὸ γὰρ κατορθοῦν ἐπὶ τῶν θεῶν οὐ κυρίως ἂν λέγοιτο, ἀλλ' ὡς ἴσον τῷ τὰ ἀγαθὰ ποιεῖν. εἴ γε ἐν οἷς μὲν τὸ κατορθοῦν ἐν τούτοις καὶ τὸ ἁμαρτάνειν, ἀνεπίδεκτον γὰρ τῶν ἁμαρτημάτων τὸ θεῖον, διὰ τοῦτο οὐδὲ ἐπαινοῦμεν τοὺς θεοὺς, ὅτι κρείττους εἰσὶν ἢ κατ' ἐπαίνους καὶ τὰ ἐφ' οἷς οἱ ἔπαινοι κατορθώματα.

§.XXXV. Μηδὲ ἐκεῖνον γὰρ παραλείπωμεν τῶν λόγων, ᾧ θαῤῥοῦσιν ὡς δεικνύναι δυναμένῳ τῶν προκειμένων τι. Λέγουσι γὰρ οὐκ

ἔστι

per circumſtantias, cum ipſi nihil conferant ut talia eos circumſtent propter quæ faciunt, eos quis aut peccare aut recte facere dicturus eſt? Neque enim in poteſtate ſua habet talem habitum, per quem in talibus circumſtantiis appetitus fit circa hæc aut illa facienda, neque ut tales ſint circumſtantiæ. Propter hoc enim nullum irrationale animal ob iſta accuſatur. Sed qui ad agendum ducitur & ab habitu & circumſtantiis aliquibus, nullius autem rei dominium habet, ut ad hunc modum non fiat, nec peccare nec recte facere in iis quæ ſic fiunt dicendus eſt. Cum autem ſint, ut ipſi fatentur, & laudes & vituperia, pœnæque & honores propter peccata & recte facta, manifeſtum eſt his ſublatis tolli etiam eorum ſingula. Bene facere autem non proprie dici de Diis poteſt, niſi quatenus æquivalet cum eo quod bona faciant. Quandoquidem autem qui bene facere poſſunt, iidem & peccare poſſunt, Deus vero peccandi capax non eſt, ideo nec laudamus Deos, quia ſuperiores ſunt eo quod & laudes reſpicit, & benefacta quibus laudes acquiruntur.

§. XXXV. Sed nec illam argumentationem omittamus cui confidunt, ut quod aliquid eorum quæ proponunt demonſtrare poſsit. Dicunt enim, non poteſt eſſe tale Fatum, quin ſit etiam Decretum, nec Decretum niſi & ſors, nec ſors niſi & ſortis diſtributio, nec ea niſi etiam ſit lex, nec lex niſi ſit recta ratio, quæ præcipiat quæ ſunt facienda, prohibeat vero quæ non ſunt facienda. Sed prohibentur delicta, præcipiuntur recte facta. Non igitur eſt tale Fatum, niſi etiam ſint peccata & recte facta. Sed ſi ſint peccata & recte facta, eſt virtus & vitium, ſi autem ſic, erit & honeſtum & turpe, ſed & honeſtum erit laudabile, turpe autem vituperabile. Non ergo erit tale Fatum, niſi ſit & laudabile & vituperabile. Atqui laudabilia ſunt honore digna, & vituperabilia ſupplicio. Non ergo erit tale Fatum, niſi etiam ſit honor & ſupplicium. Atqui eſt honor mercedis attributio, pœna autem emendatio. Non ergo erit Fatum tale, niſi ſit & præmii attributio, & emendatio. Quod ſi hæc tollantur, eorum quidem omnium quæ Fato fiunt erunt & benefacta, & peccata, & honores, & ſupplicia, & prœmii attributio, & laudes, & vituperia.

§. XXXVI. At enim ſi iſta ſic dicere a quibuſdam cauſis circumſtantibus cogantur, venia digni erunt, & nec nos ſollicitos eſſe oportet de iis quæ ab illis ex neceſſitate

ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ πεπρωμένη, οὐδὲ ἔστι πεπρωμένη, οὐκ ἔστι δὲ αἶσα, οὐδὲ ἔστι μὲν αἶσα, οὐκ ἔστι δὲ νέμεσις, οὐδὲ νέμεσις, οὐκ ἔστι δὲ νόμος, οὐδὲ ἔστι μὲν νόμος, οὐκ ἔστι δὲ λόγος ὀρθὸς, προστακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον, ἀλλὰ ἀπαγορεύεται μὲν τὰ ἁμαρτανόμενα, προστάττεται δὲ τὰ κατορθώματα· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ ἁμαρτήματα καὶ κατορθώματα· ἀλλ' εἰ ἔστιν ἁμαρτήματα καὶ κατορθώματα, ἔστιν ἀρετὴ καὶ κακία· εἰ δὲ ταῦτα, ἔστι καλὸν καὶ αἰσχρὸν, ἀλλὰ τὸ μὲν καλὸν ἐπαινετὸν, τὸ δὲ αἰσχρὸν ψεκτόν· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη. οὐκ ἔστι δὲ ἐπαινετὸν καὶ ψεκτὸν, ἀλλὰ τὰ μὲν ἐπαινετὰ τιμῆς ἄξια, τὰ δὲ ψεκτὰ κολάσεως· οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ τιμὴ καὶ κόλασις, ἀλλ' ἔστι μὲν τιμὴ γέρως ἀξίωσις, ἡ δὲ κόλασις ἀπανόρθωσις, οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη· οὐκ ἔστι γέρως ἀξίωσις, καὶ ἐπανόρθωσις· εἰ δὲ ταῦτα ἀφῄρηται μὲν, εἶναι πάντων γινομένων καθ' εἱρμαρμένην κατορθώματά τε καὶ ἁμαρτήματα καὶ τιμαὶ καὶ κολάσεις καὶ γέρως ἀξιώσεις καὶ ἔπαινοι καὶ ψόγοι.

§. XXXVI. Ἀλλὰ ταῦτά γε οἱ μὲν ὑπό τινων αἰτίων περιεστώτων αὐτοῖς οὕτως ἀναγκάζονται λέγειν, συγγινώσκειν αὐτοῖς ἄξιον, καὶ οὐδὲν δεῖ οὐθ' ἡμᾶς περὶ τῶν ὑπ' ἐκείνων κατανάγκην λεγομένων πο-

λυπραπραγμονεῖν, οὔτε ἐκείνοις περὶ τῶν οὐκ ὁμοίως αὐτοῖς λεγόντων, ἑκάστοις γὰρ τῶν λεγομένων τι καὶ δοξάντων αἰτία ἡ τῶν περιεστώτων δύναμις, καὶ οὐδὲν δεῖ τοὺς λέγοντας αἰτεῖσθαι οὐδὲν εἰς τὸ οὕτω λέγειν συντελοῦντας, εἴγε μήτε τῶν περιεστώτων, μήτε τῆς ἕξεως καθ' ἣν ὑπὸ τῶν περιεστώτων οὕτως αὐτὴν κινεῖσθαι συμβέβηκεν, τὴν αἰτίαν ἔχουσιν ἐν αὐτοῖς. εἰ δὲ ἐξουσίαν ἔχομεν καὶ χεῖρόν τι καὶ βέλτιον εἰπεῖν, τίς οὐκ ἂν αὐτῶν θαυμάσαι τὴν σύνθεσιν τοῦ λόγου ὡς ποικίλον, καὶ ἐξ ὁμολογουμένων καὶ ἐναργῶν συνάγουσαν τὸ μὴ δεῖν ὧν ἦν τὸ ἄρα τῆς περὶ τοὺς συλλογισμοὺς ἀσχολίας μακρᾶς; θέμενοι γὰρ τὸ τὴν εἱμαρμένην χρῆσθαι πᾶσι τοῖς γεγονόσι τε καὶ γινομένοις καθ' εἱμαρμένην, πρὸς τὴν ἀκώλυτον τῶν ὑπ' αὐτῆς γινομένων ἐνέργειαν, οὕτως ὡς γέγονεν ἕκαστον αὐτῶν καὶ φύσεως ἔχει, λίθῳ μὲν ὡς λίθῳ, φυτῷ δὲ ὡς φυτῷ, ζώῳ δὲ ὡς ζώῳ, εἰ δὲ ὡς ζώῳ, καὶ ὁρμητικῷ, ἐν τῷ τιθέναι τὸ χρῆσθαι αὐτὴν τῷ ζώῳ ὡς ζώῳ τε καὶ ὁρμητικῷ καὶ γίνεσθαι τὰ ὑφ' αὐτῶν διὰ τῶν ζώων γινόμενα κατὰ τὴν τῶν ζώων ὁρμὴν, ἑπομένων καὶ τούτων τῶν ἐξ ἀνάγκης περιεστώτων αὐτὰ τότε αἰτίαις. ἅτινα ἂν ἡγούμενοι διὰ τοῦ τὸ καθ' ὁρμὴν ἐνεργεῖν τὰ ζῶα τηρεῖν, ἐν τῷ ἅπαντα γίνεσθαι καθ' εἱμαρμένην, καὶ τὸ

ſitate dicuntur, neque illos de iis quibus eadem quæ ipſis non placent; cum & dictorum, & eorum quæ iis placent cauſa ſit circumſtantium vis, nec oportet accuſare eos qui talia dicunt, ut qui ipſi ad ita dicendum nihil conferant, quandoquidem neque circumſtantiarum, neque habitus per quem ſic a circumſtantiis illum moveri contigit, cauſam in ſe habent. Quod ſi poteſtatem habemus & melius & pejus dicendi, quis eorum non mirabitur compoſitionem ſermonis, ut plane ſuperfluam, & ex confeſtis & manifeſtis inferentem, opus non eſſe illis quorum concluſio eſt longum circa ſyllogiſmos nectendos negotium. Nam cum ponant Fatum uti omnibus & quæ facta ſunt, & fiunt ex Fato, ad inevitabilem operationem eorum quæ ab ipſo fiunt, eo ſcilicet modo, quo quodlibet eorum factum eſt; & natura ſe habet, lapide ut lapide, planta vero ut planta, animali ut animali, & ſi ut animali, etiam appetitum habente, cum ipſi ponant Fatum uti animali, & ut animali, & ut appetitivo, & ea quæ ab animalibus fiunt ab iis ex appetitu fieri, cum hæ quæ ex neceſſitate ſunt circumſtantiæ ut cauſis conſequentes ſint, quas qui exiſtimant ſe ſervare, ex eo quod animalia per appetitum operentur, etiam aliquid eſſe in poteſtate noſtra defendent

ex eo quod omnia Fato fiant, & cum al
as interrogando difficultates proponant,
hanc quam diximus, non, ut mihi vide
tur, in tantum ut vero credentes, quan
tum propter longitudinem, & multitud
nem verborum, & obſcuram compoſiti
nem ſe auditoribus moleſtiam daturos e
iſtimantes, videamus etiam nos id quod d
cunt, & in præſenti multa quæ ab iis p
nuntur nomina prætereuntes, neque decr
tum & ſortem, & diſtributionem aufere
tes, quibus vocabulis ad ea quæ ipſis pl
cent ſignificanda utuntur, de aliis inqu
ramus. Operæ enim pretium eſt diſce
neceſſitatem iſtius conſequentiæ, [Non
nim tale eſt Fatum quin ſit etiam lex]
enim ea quæ per Fatum fiunt ſequunt
cauſas quæ ea ex neceſſitate circumſtan
nec poſſibile eſt eum qui ex appetitu op
ratur non ſequi eas cauſas, cum cau
quæ in ipſo eſt illis omnino conjuncta ſi
adeo ut qui a ſublimi mittatur lapis, no
feratur deorſum, aut ſphæra non imped
atur cum in declivi mittatur, quis qua
ſo legum uſus eſt? Ut enim lapis non in
pedietur ab eo qui dicit non neceſſariu
eſſe ut deorſum feratur, cum ipſe natu
talis ſit, & externas cauſas ad hoc coop
rantes habeat, ſic quidem nec nobis qui
piam perſuaſurus eſt aut ratione aut leg

q

ἐφ' ἡμῖν εἶναί τι τηρεῖν. τούς τε ἄλλους ὅσους ἐρωτῶσι λόγους, καὶ δὴ καὶ τὸν προειρημένον, ἐμοὶ δοκεῖ, ὡς οὐκ ἀληθεῖ πιστεύοντες τοσοῦτον αὐτῷ, ὅσον διὰ μήκους τε καὶ πλήθους ὀνομάτων, καὶ ἀσαφεῖ συνθέσιν παράξειν ἡγούμενοι τοὺς ἀκούοντας. ἴδωμεν δὲ τὸ λεγόμενον ἡμεῖς, καὶ διὰ τὸ τὰ πολλὰ τῶν κειμένων ὀνομάτων παραιτησάμενοι τὸν νοῦν, τὴν δὲ πεπρωμένην, καὶ τὴν αἶσαν, καὶ τὴν νέμεσιν ὑφελόντες, οἷς ὀνόμασιν ἐφ' ὧν αὐτοῖς δοκεῖ σημαινομένων χρῶνται, ἐπὶ τῶν ἄλλων ἐξετάσωμεν. ἄξιον γὰρ μαθεῖν τὴν ἀνάγκην τῆς ἀκολουθίας, τῆς, οὐ γὰρ ὅτι μὲν τοιαύτη ἡ εἱμαρμένη. οὐκ ἔστι δὲ νόμος. εἰ γὰρ τὰ μὲν γινόμενα καθ' εἱμαρμένην ἕπεται τοῖς ἐξ ἀνάγκης αὐτὰ προεστῶσιν αἰτίοις, καὶ οὐχ οἷόν τε τὸν καθ' ὁρμὴν ἐνεργοῦντα μὴ ἀκολουθεῖν τούτοις τοῖς αἰτίοις, τὴν αἰτίαν τὴν ἐξ αὐτοῦ πάντως ἐκείνοις συνάπτοντα, ὥς τε οὐδὲ τὸν ἀπὸ ὕψους ἀφέντα λίθον μὴ κάτω φέρεσθαι, ἢ τὴν σφαῖραν κατὰ τοῦ πρανοῦς μὴ κυλίεσθαι ἀφεθεῖσαν κατ' αὐτοῦ, τίς ἔτι χρεία νόμων; ὡς γὰρ ὁ λίθος οὐκ ἂν ὑπὸ τοῦ λέγοντος μὴ δεῖν κάτω φέρεσθαι κωλυθείη ποτ' ἄν, τῷ αὐτός τε τὴν φύσιν εἶναι τοιοῦτος, τά τε ἔξωθεν αἴτια ἔχειν συνεργὰ πρὸς τοῦτο, οὕτως οὐδὲ ἡμῶν τις πεισθείη ποτ' ἂν λόγῳ ἢ νόμῳ ἄλλως ἀξιοῦντι πράττειν παρὰ τὴν τῶν περιεστώτων ἀνάγκην. Οὐ γὰρ πλέον τι ἡμῖν ἐκ τοῦ εἰδέναι τῶν προσταττομένων ὑπὸ τῶν νόμων, ἔχουσι προκαταβεβλημένας αἰτίας, αἷς περιεστώσαις ἀκολουθεῖν τὴν ὁρμὴν ἀνάγκη. Οὕτω δὲ ἀναιροῖτ' ἂν τὸ ἐκ τῶν νόμων χρήσιμον, εἴ γε οἱ μὲν νόμοι προστακτικοὶ μέν εἰσι τῶν ποιητέων, ἀπαγορευτικοὶ δὲ τῶν οὐ ποιητέων. οὐχ ἕπεται δὲ τῇ τῶν νόμων προστάξει τὰ καθ' ὁρμὴν ἡμᾶς ἐνεργεῖν, ὅταν τὰ περιεστῶτα αἴτια ἐξ ἀνάγκης ἡμᾶς, ἐπ' ἄλλα τινὰ κινῇ τε καὶ φέρῃ. ἀναιρουμένου δὲ διὰ τὴν τοιαύτην εἱμαρμένην τοῦ ἀπὸ τῶν νόμων χρησίμου, ἀναιροῖντ' ἂν καὶ οἱ νόμοι. τί γὰρ ὄφελος νόμων, οἷς πείθεσθαι τὴν ἐξουσίαν ὑπὸ τῆς εἱμαρμένης ἀφῃρήμεθα; οὐκ ἄρα τῷ τοιαύτην εἶναι τὴν εἱμαρμένην ἕπεται τὸν νόμον εἶναι, ἐναντία γὰρ εἱμαρμένη τε καὶ νόμος, εἴγε ὁ μὲν νόμος προστακτικός ἐστι τῶν πρακτέων τε καὶ μή, ὡς τῶν πραττόντων δυναμένων αὐτῷ πείθεσθαι κελεύοντι, διὸ καὶ τοὺς μὴ πειθομένους ὡς ἁμαρτάνοντας ζημιοῖ, τιμᾷ δὲ τοὺς πειθομένους ὡς κατορθοῦντας. Ἡ δὲ εἱμαρμένη πάντα τὰ γινόμενα, ἀναγκαίως τε καὶ δι' ὁμοίας αἰτίας φησὶ γίνεσθαι, τῶν δὲ δι' ὁμοίας γινομένων αἰτίας οὐχ οἷόν τε τὰ μὲν ἁμαρτήματα λέγειν, τὰ δὲ κατορθώματα. Εἰ γὰρ λέγει τις καὶ τὸν νόμον ἐν τοῖς

qui nos aliter facere velit quam fert circumſtantiarum neceſſitas. Neque enim quicquam nobis proderit eorum quæ legibus præcipiuntur intelligentia, cum habeamua prius jactas cauſas, quibus circumſtantibus neceſſe eſt ut appetitus obſequatur. Sic autem tollitur omnis legum utilitas, ſi leges præceptivæ ſint eorum quæ facienda ſunt, prohibitivæ vero eorum quæ non ſunt facienda. Non autem legis imperio conſequens eſt nos ea facere, quæ ſecundum appetitum ſunt, quando cauſæ ex neceſſitate nos circumſtantes ad alia nos & movent & ferunt. Sublata autem per tale Fatum legum utilitate, tollentur etiam & leges. Quæ enim utilitas legum, quibus obediendi poteſtatem omnem per Fatum abſtulimus? Non igitur ei quod tale ſit Fatum, conſequens eſt legem eſſe, Contraria enim ſunt Fatum & lex, quandoquidem lex præcipit quæ facienda ſunt, & quæ non, tanquam ii qui faciunt poſſint jubenti obſequi, quare & inobedientes & delinquentes punit, eos qui obediunt ut recte facientes honorans. Fatum autem omnia quæ fiunt neceſſario & ex ſimili cauſa fieri dicit, eorum autem quæ fiunt ex eadem cauſa, non poſſibile eſt quædam peccata dicere, quædam recte facta. Nam ſi quis dicat legi locum eſſe in iis quæ ſunt neceſſaria, & in cauſis a Fato prius jactis, manifeſtum eſt quod & in iis qui ex appetitu ea quæ ſecundum legem ſunt, agunt, lex ipſa cogetur eſſe inter cauſas quæ eos circumſtant, non autem erit inter cauſas circumſtantes iis qui quæ non ſunt ſecundum legem, faciunt. Qui autem hanc cauſam habent non faciendi ea quæ ſunt ſecundum leges, manifeſtum eſt eos vituperari non poſſe, (quomodo enim merentur) cum inter cauſas ex neceſſitate circumſtantes, quibus non obſequi appetitum impoſſibile erat, non fuerit iſta ex legibus cauſa, cum per neceſsitatem quandam & Fatum adeſſe vetaretur. Sed nec lex amplius eſſet, licet haberet qui eam darent, ſi dicendum ſit hinc obedientes Fato obſequi, & eos qui non parent a Fato quodam impediri, ſic ut multo verior eſſet illa collectio, Si ſit Fatum, non eſt lex, ſublata autem lege, & cum ea delicto & recte facto, tollentur etiam (ut ipſi per conſequentiam rationalem aſſumunt) & virtus & vitium, & eſſe aliquid inter homines turpe & bonum, laudabileque & illaudabile, & præmio & pœna dignum. Nihil ergo manebit illius quod cum tanta arte interrogationum conſtructum eſt. Et ſi ab infimo ordiaris, premet eos conſequentia illa, qua premi aiunt

ἀναγκαίοις τε καὶ προκαταβεβλημένοις ὑπὸ τῆς εἱμαρμένης αἰτίοις εἶναι, δῆλον ὡς καὶ τοῖς πράττουσι καθ' ὁρμὴν τὰ κατ' αὐτὸν, ἐν τοῖς προεστῶσιν αἰτίοις καὶ αὐτὸς ἔσται κατηναγκασμένος, οὐ πεισθήσεται δὲ τοῖς προστάττουσι τὰ μὴ κατ' αὐτόν. Οἱ δὲ ταύτην τοῦ μὴ πράσσειν τὰ κατὰ τοὺς νόμους ἔχοντες τὴν αἰτίαν, πρόδηλον ὡς οὐκ ἂν ψέγοιντο, (πῶς γὰρ ἄξιοι;) ὅτε γοῦν ἐν τοῖς προεστῶσι κατ' ἀνάγκην αἰτίοις, οἷς μὴ ἕπεσθαι τὴν ὁρμὴν οὐχ οἷόν τε, οὐκ ἦν ἐν τῶν νόμων αἰτία, κατ' ἀνάγκην τινὰ καὶ εἱμαρμένην παρεῖναι κεκωλυμένη. Ἀλλὰ οὕτως γε οὐδ' ἂν νόμος ἔτι εἴη, ἔχων καίπερ θεμένοις αὐτὸν, εἴγε χρὴ τούτῳ πείθεσθαι λέγειν ἐξ ἀνάγκης ἑπομένοις, καὶ τοὺς μὴ πειθομένοις ὑπὸ ἀνάγκης τινὸς πείθεσθαι κεκωλυμένοις, ὡς τὸ πολὺ ἂν ἀληθέστερον εἴη συνειλημμένον, τὸ, εἰ ἔστι τοιαύτη εἱμαρμένη, οὐκ ἔστι νόμος, ἀναιρουμένου δὲ νόμου, καὶ σὺν αὐτῷ ἁμαρτήματός τε καὶ κατορθώματος, ἀναιροῖτ' ἂν (ὡς καὶ αὐτοὶ διὰ τῆς ἀκολουθίας ἐλάμβανον τῆς κατὰ τὸν λόγον) ἀρετή τε καὶ κακία, καὶ τὸ εἶναί τι ἐν ἀνθρώποις αἰσχρόν τε καὶ καλὸν, καὶ ἐπαινετόν τε καὶ ψεκτὸν, καὶ τιμῆς τε καὶ κολάσεως ἄξιον. Οὐδὲν ἄρα μένει τοῦ ὑπὸ τοῦ μετὰ τοσαύτης τέχνης ἐρωτημένου λόγου κατασκευασμένου. Ἀκολουθήσει τε αὐτοῖς, ἀρξαμένων κάτωθεν, ἀκολουθία, ἣν ἔπεσθαι λέγουσι τοῖς ἀναιρεῖν πειρωμένοις τὸ ἐφ' ἡμῖν εἶναι, ὡς αὐτοὶ τηροῦντες ὁμολογουμένως αὐτὸ, διὰ τὸ προβάλλειν ἄλλοις ἀφαιρεῖν αὐτὸ, τῷ μὴ δοκεῖν ἔχεσθαι ὃ καὶ διαφεύγειν ἡγοῦνται. εἰ γὰρ μή εἰσι τιμαὶ, μηδὲ κολάσεις, οὐδὲ ἔπαινοι, οὐδὲ ψόγοι, εἰ δὲ μὴ ταῦτα, οὐδὲ κατορθώματά τε καὶ ἁμαρτήματα, εἰ δὲ μὴ ταῦτα, οὐδὲ ἀρετὴ καὶ κακία, εἰ δὲ μὴ ταῦτα, φασὶν ὅτι μηδὲ θεοί. ἀλλὰ μὴν τὸ πρῶτον, μὴ τὸ εἶναι τιμαὶ, μήτε κολάσεις, ἕπεται τῷ πάντα γίνεσθαι καθ' εἱμαρμένην ὡς δέδεικται, τὸ τελευταῖον ἄρα, ὃ ἄτοπον καὶ ἀδύνατον, ἀνακριτέον, τὸ πάντα γίνεσθαι καθ' εἱμαρμένην, ᾧ τοῦθ' ἕπετο.

XXXVII. Ἴδωμεν δὲ καὶ ἐπὶ τούτῳ λόγον ἠρωτημένον, εἰ μὴ τὰς ὁμοίας ἀνάγκας ἔχει, λέγει δὲ οὕτως. οὐ πάντα μὲν ἐστὶ καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις. οὐδὲ ἐστὶ μὲν τοῦτο, οὐκ ἔστι δὲ κόσμος· οὐδὲ ἔστι μὲν κόσμος, οὐκ εἰσὶ δὲ θεοί· εἰ δέ εἰσι θεοὶ, εἰσὶν ἀγαθοὶ οἱ θεοί· ἀλλὰ εἰ τοῦτο, ἔστιν ἀρετή· ἀλλ' ἔστιν ἀρετὴ, ἔστι φρόνησις· ἀλλ' εἰ τοῦτο, ἔστιν ἡ ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων· ἀλλὰ ποιητέα μέν ἐστι τὰ κατορθώματα, οὐ ποιητέα δὲ τὰ ἁμαρτήματα. οὐ

ἄρα

unt eos qui conantur auferre id quod in noſtra poteſtate eſt, quaſi ipſi in confeſſo illud habeant, ut qui alios accuſent quod illud tollant, non interim ſe videntes eo ipſo teneri quod effugere ſe exiſtimant. Si enim non ſint præmia, neque pœnæ, neque laudes, neque vituperia erunt. Si autem non hæc, tunc nec benefacta & peccata. Si autem non hæc, nec virtus & vitium. Si autem non hæc, inquiunt, tunc neque Dii ſunt. At vero primum, non ſcilicet eſſe mercedes nec pœnas, conſequens eſt ejus ſententiæ quæ docet omnia Fato fieri, ut oſtenſum eſt. Poſtremum igitur quod abſurdum & impoſſibile tollendum eſt, omnia ſcilicet Fato fieri, unde hoc ſequebatur.

§. XXXVII. Videamus autem inſuper & aliud interrogativum argumentum, an eaſdem neceſſitates habent. Sic autem procedit, Non ſunt omnia ex Fato, niſi etiam ſit gubernatio mundi talis ut nec prohiberi nec impediri poſſit; & ſi ſic, neque mundus eſt; & ſi mundus non eſt, nec ſunt Dii; ſi vero ſunt Dii, ſunt Dii boni; ſed ſi hoc ſit, eſt virtus; ſi autem virtus ſit, eſt prudentia; ſi autem eſt prudentia, eſt ſcientia faciendorum & non faciendorum; ſed ea quæ facienda ſunt, ſunt recte facta, non facienda, peccata: ſequitur igitur,

tur ſi non ſit Fatum, non eſt peccatum aut recte factum. Sed recte facta ſunt honeſta, peccata turpia, & honeſta laudabilia, mala vituperabilia. Non igitur erunt omnia ex Fato, quin & non erunt ea quæ laudari aut vituperari poſſunt, ſed ſi ſic, non erunt laudes & vituperia. Sed quæ laudamus, ea præmio afficimus, quæ vituperamus, punimus. Et is qui dat præmium honorat, qui punit emendat. Non igitur omnia Fato fiunt, niſi & nulli ſint honores, nullæ caſtigationes. Et hæc quidem argumentatio ex eadem palæſtra producta eadem plane ratione falſi arguetur. Primo enim libenter conceſſurus eſt quiſpiam niſi Fato omnia fiant, non fore mundi gubernationem talem quæ nequeat prohiberi aut impediri, quædam enim neceſſario, quædam contingenter fiunt, & horum quædam ſecundum naturam, quædam ſecundum electionem & rationem, quædam ſecundum appetitum, quædam fortuito, quædam ſponte. Hæc autem omnia a Fato tolluntur, concluditur ergo non manere mundi gubernationem talem quæ nec impediri nec prohiberi poſſit. Sed ſi hoc concedatur, etiam eſſe mundum, & cum mundus ſit, Deos (quamvis ex Epicuri ſententia extra mundum ſint Dii) ut & Deos bonos eſſe. Et ſi ſequatur ex eo quod

ἄρα πάντα μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἁμάρτημα καὶ κατόρθωμα· ἀλλὰ τὰ μὲν κατορθώματα καλά, τὰ δὲ ἁμαρτήματα αἰσχρά, καὶ τὰ μὲν καλὰ ἐπαινετά, τὰ δὲ κακὰ ψεκτά. Οὐκ ἄρα πάντα μὲν εἰσὶ καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἐπαινετὰ καὶ ψεκτά, ἀλλ' εἰ τοῦτο, οὐκ ἂν ἔπαινοι καὶ ψόγοι. ἀλλ' ἃ μὲν ἐπαινοῦμεν, τιμῶμεν, ἃ δὲ ψέγομεν, κολάζομεν, καὶ ὁ μὲν τιμῶν γεραίρει, ὁ δὲ κολάζων ἐπανορθοῖ. Οὐκ ἄρα πάντα μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ γεραίρειν, καὶ ἐπανορθοῦν. καὶ οὗτος δὴ ὁ λόγος, ἀπὸ τῆς αὐτῆς παλαίστρας ὤν, δῆλον ὡς διὰ τῶν αὐτῶν ἂν ψευδὴς ὢν ἐλέγχοιτο. πρῶτον μὲν γὰρ ἄν τις συγχωρήσῃ προχείρως τό, εἰ πάντα μὲν ἐστὶ καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις, ἐν τῷ γίνεσθαι τὰ μὲν ἐξ ἀνάγκης, τὰ δὲ ἐνδεχομένως, καὶ τούτων τὸ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ προαίρεσίν τε καὶ λόγον, τὰ δὲ καθ' ὁρμήν, τὰ δ' ἀπὸ τύχης τε καὶ αὐτομάτως· ἀναιρεῖται δὲ πάντα ταῦτα ὑπὸ τῆς εἱμαρμένης, οὐκ ἄρα ἀνεμπόδιστος οὐδὲ ἀκώλυτος ἡ τοῦ κόσμου διοίκησις μένοι. ἀλλ' εἰ συγχωρηθείη τοῦτό τε καὶ τὸν κόσμον εἶναι, καὶ κόσμου ὄντος θεούς, (καί τοι κατ' Ἐπίκουρον δῆλος ὄντας αὐτούς) καὶ τοὺς θεοὺς ἀγαθοὺς εἶναι, εἰ δὲ καὶ τὸ ἀρετὴν εἶναι τοῖς θεοῖς ἑπόμενον, πῶς πρὸς τὴν τῶν θεῶν ἀρετὴν εἶναι, ἕποιτ' ἂν τὸ εἶναι φρόνησιν; τίς γὰρ ἡ τῆς ἀκολουθίας ταύτης ἀνάγκη;

Εἰ μὲν γὰρ ἦν εἰλημμένον τὸ, τὴν ἀνθρώπων ἀρετὴν εἶναι, ἕποιτ' ἂν τούτῳ καὶ ἡ φρόνησις, ἐπειδ' ἐκ τῶν κειμένων εἴληπται τὸ τὴν ἀνθρώπων ἀρετὴν εἶναι. πῶς ἂν ἔτι ἕποιτο τῇ τῶν θεῶν ἀρετῇ φρόνησις, ἀνθρώπων οὖσα ἀρετή; οὐ γὰρ τὰς αὐτὰς ἀρετὰς οἷόν τε λέγειν εἶναι τῶν τε ἀνθρώπων καὶ τῶν θεῶν, οὔτε γὰρ ἄλλως ἀληθὲς τὸ τὰς τῶν τοσοῦτον ἀλλήλων κατὰ τὴν φύσιν διεστώτων τὰς αὐτὰς τελειότητάς τε καὶ ἀρετὰς λέγειν· οὔθ' οἱ πρὸς αὐτῶν περὶ αὐτῶν λεγόμενοι λόγοι, οὔθ' εὔλογόν τι ἐν αὐτοῖς ἔχουσιν. ἀνθρώπου δὲ ἡ φρόνησις ἀρετή, ἣ ἐστιν, ὥς φασιν, ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων, ἐν οἷς γὰρ οἷόν τε μὴ πραχθῆναί τι καὶ τῶν ποιητέων, ἐν τούτοις ἡ τῶν ποιητέων τε καὶ οὐ ποιητέων ἐπιστήμη χώραν ἔχει. ἀλλὰ μὴν πάντων γινομένων καθ' εἱμαρμένην, ἄχρηστος ἡ γνῶσις τῶν ποιητέων τε καὶ μή, τί γὰρ ὄφελος τῆς τοιαύτης γνώσεως τοῖς μηδὲν ὧν πράττουσι φυλάξασθαι δυναμένοις; εἰ δὲ μηδὲν ἡ τούτων ἐπιστήμη χρήσιμον, ἀναιρεῖτ' ἂν ἡ φρόνησις, ὡς εἶναι τὴν ἀκολουθίαν ἀληθεστέραν, τὴν, εἰ ἔστιν εἱμαρμένη, μὴ εἶναι φρόνησιν. καθ' ὃν γὰρ λόγον ὁ νόμος ἀνῃρεῖτο,

Dii ſint, etiam eſſe virtutem, quomodo tandem ſequetur ex eo, quod Dii virtutem habeant, eſſe etiam prudentiam? Quæ enim eſt hujus conſequentiæ neceſſitas? Si enim aſſumptum eſſet, eſſe hominum virtutem, ſequeretur ſane eſſe prudentiam. Cum vero in propoſitionibus aſſumptum ſit, Deorum virtutem eſſe, quomodo ex Deorum virtute concludi poſſet prudentia quæ eſt hominum virtus? Non enim æquum eſt eaſdem dici hominum Deorumque virtutes, neque enim alioqui verum eſt, ſi quis eorum quæ in tantum a ſe invicem diſtant, eaſdem perfectiones & virtutes eſſe dixerit. Sed nec ſermones ipſorum de his rebus aliquid in ſe rationi conſonum habent. Eſt autem hominis virtus prudentia, cum ſit ut aiunt, ſcientia faciendorum & non faciendorum. Ubi enim poſſibile eſt aliquid eorum quæ facienda ſunt non fieri, ibi faciendorum & non faciendorum ſcientia locum habet. Sed ſi omnia ex Fato fiant, inutilis erit cognitio faciendorum & non faciendorum. Quid enim opus eſt tali ſcientia iis qui nihil eorum quæ faciunt vitare poſſunt? ſed ſi ad nihil ſit utilis ea ſcientia, tolli poterit prudentia, ſic ut verior ſit conſequentia hæc, Si ſit Fatum, non eſt prudentia. Qua enim ratione tolleretur lex poſito Fato, eadem etiam tolletur prudentia, qua ſublata, manifeſtum eſt aliarum ſingula auferri, quæ per conſequentiam ex poſita prudentia concluduntur.

§. XXXVIII. Jam vero quod illi non ex eo quod oſtendunt manere in animalibus motionem ex appetitu, etiam ſi omnia Fato fiant, defendunt libertatem noſtram (niſi qui illud quod per aliquem fit ſecundum propriam naturam, in ejus poteſtate eſſe dicturus ſit, aliam ſignificationem libertatis aut poteſtatis noſtræ introducens, diverſam ab ea quæ creditur & anticipata opinione recipitur, quam nos hanc dicimus eſſe quam habemus poteſtatem faciendi contraria iis quæ fiunt) hoc jamdudum in prioribus & dictum eſt ſæpenumero, & probatum. His autem affines ſunt & alii omnes ſermones quos ad hujus dogmatis confirmationem proponunt, quendam ut plurimum verbalem ornatum habentes, ſed nullum ex conſonantia rerum, de quibus loquuntur, fidem aſtruentes.

§. XXXIX. Hæc ſunt, O vos diviniſſimi Imperatores, Ariſtotelicæ ſententiæ de Fato, & eo quod eſt in noſtra poteſtate, ut mihi quidem videtur, capita juxta quam ſentientes erga Deos pietatem exercebimus, partim iis gratias agendo pro iis quæ ab iis hactenus recepimus, partim

preces

κειμένης τῆς εἱμαρμένης, κατὰ τοῦτο ἀναιρεθήσεται καὶ φρόνησις, ἧς ἀναιρουμένης, δῆλον ὡς καὶ τῶν ἄλλων ἕκαστον ἀναιροῖτ᾽ ἂν καὶ τῶν κατὰ τὴν ἀκολουθίαν τὴν πρὸς τὴν φρόνησιν τιθεμένων.

§ XXXVIII. Ὅτι δὲ μὴ δὲ οἱ ἐκ τοῦ δεικνῦσαι τὴν καθ᾽ ὁρμὴν κίνησιν τοῖς ζώοις μένουσαν πάντων γινομένων καθ᾽ εἱμαρμένην, σώζουσι τὸ ἐφ᾽ ἡμῖν, (εἰ μὴ βούλοιτό τις ἁπλῶς τὸ ὑπό τινος κατὰ τὴν οἰκείαν γινόμενον φύσιν, ἐπ᾽ ἐκείνῳ λέγειν, ἀλλ᾽ ὅ τι σημαινόμενον τοῦ ἐφ᾽ ἡμῖν εἰσάγων, παρὰ τὸ πεπιστευμένον τε καὶ προειλημμένον, ὀφείλει εἶναι διὰ τὸ ἔχειν ἡμᾶς ἐξουσίαν τῶν ἐν τοῖς πραττομένοις ἀντικειμένων) φθάνει διὰ τῶν πρώτων πλεονάκις εἰρῆσθαί τε καὶ δεδεῖχθαι. παραπλήσιοι δὲ τούτοις καὶ ὅσοι ἄλλοις εἰς σύστασιν τοῦ δὲ τοῦ δόγματος λόγοις παρατίθενται, ἐπὶ πλέον καὶ μέχρι ῥημάτων τὴν κομψείαν ἔχοντες, ἀλλ᾽ οὐκ ἐκ τῆς πρὸς τὰ πράγματα περὶ ὧν λέγονται συμφωνίας τὴν πίστιν λαμβάνοντες.

§. XXXIX. Ταῦτα ὑμῖν, ὦ θειότατοι αὐτοκράτορες, τῆς Ἀριστοτέλους δόξης περί τε εἱμαρμένης καὶ τοῦ ἐφ᾽ ἡμῖν, κατ᾽ ἐμὴν δόξαν, τὰ κεφάλαια, καθ᾽ ἣν δοξάζοντες εἴς τε θεοὺς εὐσεβήσομεν, τὰ μὲν εἰδότες αὐτοῖς χάριν ἀνθ᾽ ὧν φθάνομεν

ὑπ' αὐτῶν ἂν πεπονθότες, τὰ δὲ αἰτούμενοι παρ' αὐτῶν, ὡς ὄντων καὶ τοῦ δοῦναι καὶ τοῦ μή, κυρίων. Ἐσόμεθα δὲ καὶ περὶ τοὺς ὑμῖν ὁμοίοις ἄρχοντας εὐχάριστοι, ταῦτα πράττοντας εἰς ἡμᾶς ἃ ποιεῖ ὑμῶν οἰκεία προαίρεσις πράττειν ὑμᾶς, αἱρέσει τοῦ βελτίονος, καὶ τοῦ περὶ τὴν κρίσιν αὐτοῦ φροντίζειν ποιοῦντας ἃ ποιεῖτε, ἀλλ' οὐ προκαταβεβλημένοις τισὶν αἰτίοις ἑπομένους, οἷς ἀναγκαῖον ἕπεσθαι ᾗ ἂν ἐκεῖνα ἄγῃ. Ποιησόμεθα δὲ καὶ ἀρετῆς ἐπιμέλειαν, ὡς ὄντες αὐτοὶ κύριοι τοῦ βελτίους ἢ χείρους γενέσθαι. τούτων γὰρ μόνων κύριός τις ὢν, καὶ τοῦ μὴ πράττειν αὐτὰ ἔχει τὴν ἐξουσίαν, καὶ τὰ ἄλλα δὲ ὅσα πράττομεν κατὰ τὸν βίον, ὅτι μόνως εὐλόγως πράττειν ἂν δοκοῖμεν, εἰ κατὰ τὴν Ἀριστοτέλους δόξαν περὶ αὐτῆς ἀποδιδοίημεν τὰς αἰτίας, διὰ παντὸς ἐπειράθην ὑμῖν παραστῆσαι τοῦ λόγου.

ΤΕΛΟΣ.

preces ad eos dirigendo, ut qui dominium habeant dandi & non dandi. Erimus etiam grati erga principes vobis ſimiles, ut qui hæc erga nos agatis, quæ propria veſtra electio vobis agenda proponit, & qui eligendo illud quod melius eſt, & curando ut de eo recte judicetis, faciatis ea quæ facitis, non autem prius jactis quibuſdam cauſis obſequentes, quas ſequi neceſſum eſt quacunque illæ duxerint. Sed & virtutis curam habebimus, ut qui in poteſtate habeamus vel meliores vel pejores fieri. Horum enim ſolummodo quiſpiam dominus eſt, ideoque & non faciendi poteſtatem habet. Alia autem omnia quæ in hac vita facimus, nos tum demum cum ratione agere, ſi ſecundum Ariſtotelis ſententiam, actionum cauſas reddamus, per omnem hunc ſermonem ego vobis oſtendere conatus ſum.

FINIS.

ΑΜΜΩΝΙΟΥ
ΤΟΥ ΕΡΜΕΙΟΥ

ΕΙΣ ΤΟ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ
περὶ Ἑρμηνείας τμῆμα δεύτερον

ΥΠΟΜΝΗΜΑ.

AMMONII HERMIÆ
in libri ARISTOTELIS
De Interpretatione Sectionem ſecundam
COMMENTARIUS:

Cum Latina Verſione.

LONDINI,
Anno Domini, 1658.

ΑΜΜΩΝΙΟΥ
ΤΟΥ ΕΡΜΙΟΥ
ΕΙΣ ΤΟ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ
περὶ Ἑρμηνείας τμῆμα δεύτερον
ΥΠΟΜΝΗΜΑ.

§. I. Τῶν οὖν εἰρημένων τριῶν ἀντιθέσεων κατὰ πάντα χρόνον ὁμοίως ἐχουσῶν, κατὰ τὸ ποιεῖν ἀντίφασιν ἢ μὴ ποιεῖν, τὰς καθ' ἕκαστα προτάσεις φησὶν ὁ Ἀριστοτέλης ἐπὶ μὲν τῆς ἀναγκαίας ὕλης καὶ τῆς ἀδυνάτου διαιρεῖν κατὰ πάντα χρόνον ὡρισμένως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. Κατὰ μὲν γὰρ τὴν ἀναγκαίαν ὕλην, τὴν μὲν κατάφασιν ἀληθεύειν ἀνάγκη, τὸ ἀναγκαίως ὑπάρχον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν ψεύδεσθαι, ἅτε ἀναιροῦσαν τὸ ἀναγκαίως ὑπάρχον. κατὰ δὲ τὴν ἀδύνατον, τὴν μὲν κατάφασιν ψεύδεσθαι, τὸ ἀδύνατον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν, ἅτε ἀναιροῦσαν αὐτὸ, ἀληθεύειν.

AMMONII
HERMIÆ
COMMENTARIUS
IN SECTIONEM II^{dam} LIBRI
ARISTOTELIS
De Interpretatione. Parte 8va.

CUm igitur tres prædictæ oppoſitiones ſecundum omnem temporis varietatem pari modo ſe habeant, in eo quod faciant vel non faciant contradictiones, affirmat Ariſtoteles enuntiationes particulares in materia quidem neceſſaria & impoſſibili verum & falſum definite diſpeſcere aut diſtribuere ſecundum omne tempus. Cum enim materia ſit neceſſaria, neceſſe eſt Affirmationem veram eſſe, aientem quippe illud eſſe quod neceſſario eſt, Negationem vero falſam eſſe, ut quæ tollat iſtud quod neceſſario exiſtit. Cum vero materia ſit impoſſibilis, æque neceſſe eſt Affirmationem falſam eſſe, aientem quippe illud eſſe quod eſt impoſſibile, Negationem autem veram eſſe, ut quæ tollat illud quod impoſſibile le eſt. In materia autem contingenti non jam amplius affirmat Ariſtoteles eas eodem modo ſe habere ſecundum omnem temporis varietatem ſumptas, reſpectu differentiæ veri & falſi. In præterito enim & præſenti tempore, cum ſcilicet res jam evenerit de qua ſermo eſt, manifeſtum eſ particularium Enuntiationum unam veran eſſe, alteram falſam : Si enim eveniat u Socrates hodie lavet, aut heri lotus ſit, affirmatio quidem vera eſt aiens , Socrate lavatur, Socrates heri lotus eſt ; Negatio manifeſto falſa erit, ut quæ illud quod eſ aut fuit, auferre tentet. Si vero accideri ut nec lavetur nunc, nec heri lotus ſit tunc certe negationem ſeu de præſent tempore, ſeu de præterito ſumptam , veram eſſe neceſſum eſt; affirmationem vero mendacem eſſe, ut quæ illud quod non evenerit, aut eſſe aut fuiſſe dicat. Circa futurum vero tempus docet eodem etian modo diſtribuere enuntiationes de re qua que particulari, ſimulque & veritatem in iis & falſitatem , non tamen eodem modo ſumptas quo ſumebantur circa tempus au præſens aut præteritum. Nondum enim definite affirmari poteſt utra earum vera futura ſit, utra falſa, cum res ea nondum actu exiſtat, poſſit tamen evenire vel non evenire.

§. I

ειν. Κατὰ δέ γε τὴν ἐνδεχομένην ὕλην, οὐκέτι φησὶν ὁμοίως αὐτὰς ἔχειν κατὰ πάντα χρόνον λαμβανομένας πρὸς τὴν διάκρισιν τοῦ τε ἀληθοῦς καὶ τοῦ ψευδοῦς. ἐπὶ μὲν γὰρ τοῦ παρεληλυθότος καὶ τοῦ ἐνεστῶτος, ἅτε δὲ τοῦ πράγματος ἐκβεβηκότος περὶ οὗ ὁ λόγος, φανερὸν εἶναι τῶν καθ' ἕκαστα προτάσεων τήν τε ἀληθεύουσαν καὶ τὴν ψευδομένην· εἰ γὰρ τύχοι λουόμενος, ἢ λουσάμενος χθὲς ὁ Σωκράτης, ἡ μὲν κατάφασις ἀληθεύει ἡ λέγουσα, Σωκράτης λούεται, Σωκράτης χθὲς ἐλούσατο· ἡ δὲ ἀπόφασις ἀναιρεῖν πειρωμένη τὸ ὑπάρχον ἢ ὑπάρξαν, δῆλον ὅτι ψευδὴς ἔσται· καὶ εἰ τύχοι μὴ λουόμενος, ἢ μὴ λελουμένος, . τῇ προτεραίᾳ δηλονότι, τὴν μὲν ἀπόφασιν κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ τὸν παρεληλυθότα λαμβανομένην ἀληθεύειν ἀνάγκη, τὴν δὲ κατάφασιν, ὑπάρχειν ἢ ὑπάρξαι λέγουσαν τὸ μὴ ἐκβεβηκὸς, ψεύδεσθαι. Κατὰ δέ γε τὸν μέλλοντα χρόνον, διαιρεῖν μὲν καὶ οὕτω φησὶ τὰς καθ' ἕκαστα προτάσεις τό, τε ἀληθὲς καὶ τὸ ψεῦδος, οὐκέτι μέντοι ὁμοίως τῶν κατὰ τὸν ἐνεστῶτα χρόνον, ἢ τὸν παρῳχηκότα λαμβανομέναις. Οὐ γὰρ ἔτι ὡρισμένως ἐστὶν εἰπεῖν ποτέρα μὲν αὐτῶν ἀληθεύσει, ποτέρα δὲ ψεύσεται, οὔπω τοῦ πράγματος ἐκβεβηκότος, δυναμένου μέντοι καὶ ἐκβῆναι καὶ μὴ ἐκβῆναι.

§.II. Τοῦτο μέν τοι τὸ θεώρημα τὸ νῦν ὑπὸ Ἀριστοτέλους κινούμενον, δοκεῖ μὲν εἶναι λογικὸν, κατὰ ἀλήθειαν δὲ πρὸς πάντα τὰ μόρια τῆς φιλοσοφίας ἐστὶν ἀναγκαῖον· κατά τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν πᾶσαν ἀνάγκη προσλαμβάνειν, ὡς οὐ πάντα ἐστί τε καὶ γίνεται ἐξ ἀνάγκης, ἀλλ᾽ ἔστι τινὰ καὶ ἐφ᾽ ἡμῖν. Ἐπεὶ γὰρ κύριοι πράξεων τινῶν ὄντες, καὶ ἐφ᾽ ἡμῖν ὂν ἑλέσθαι ἢ μὴ ἑλέσθαι τὰ δέ τινα, καὶ πρᾶξαι ἢ μὴ πρᾶξαι, τὰς μὲν ἐπαινετὰς, τὰς δὲ ψεκτὰς εἶναι τῶν τε προαιρέσεων καὶ τῶν πράξεων λέγομεν, καὶ προτρέπειν μὲν τοὺς πέλας ἀξιοῦμεν ἐπὶ τὰς καλὰς καὶ ἀγαθὰς πράξεις, ἀποτρέπειν δὲ ἐκ τῶν ἐναντίων. Καὶ μέν τοι καὶ πρὸς φυσιολογίαν χρήσιμον φαίνεται τὸ θεώρημα. Ζητήσει γὰρ καὶ ὁ φυσιόλογος, εἴ τε πάντα ἐξ ἀνάγκης γίνεται τὰ γινόμενα, εἴ τέ τινα ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου. Καὶ πρὸς τὴν λογικὴν μέθοδον ὡσαύτως. Αὐτὸ γοῦν τοῦτό ἐστι τὸ νῦν ζητούμενον, Εἴτε πᾶσα ἀντίφασις ἀφωρισμένως διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, εἴτε ἔστι τὶς καὶ ἀορίστως ταῦτα διαιροῦσα. Ἐκτεινόμενον δὲ τὸ θεώρημα καὶ ἐπὶ τὴν πρώτην φιλοσοφίαν εὑρήσεις. Ζητήσει

§. II. Hæc vero diſquiſitio quæ nunc ab Ariſtotele diſcutienda proponitur, Logica quidem eſſe videtur, ſeu ad diſputandi artem pertinere, revera autem ad omnes Philoſophiæ partes apprime utilis & neceſſaria eſt. Ad Ethicam enim aut moralem Philoſophiam univerſam; aſſumi illud neceſſe eſt, Quod ſcilicet non ſint aut fiant omnia ex neceſsitate, ſed ſint quædam & in noſtra poteſtate. Cum enim actionum quarundam nos domini ſimus, & penes nos ſit hæc talia eligere aut non eligere, ut & facere aut non facere, hinc fit ut electionum & actionum quaſdam laudabiles eſſe, alias vero culpabiles dicamus, eoſque qui nobis propinqui ſunt ad honeſtas & bonas actiones adhortari, a contrariis autem avertere cupiamus. Quinimo & ad naturalem Philoſophiam diſquiſitio hæc utilis eſſe apparet. Quæret enim Naturalis Philoſophiæ Profeſſor annon omnia quæ fiunt ex neceſsitate fiant, an quædam forte fortuna & ex ſuo motu. Sed & ad artem diſputativam ſimiliter pertinet. Hoc ipſum igitur eſt quod nunc quæritur, An omnis contradictio definite verum & falſum diſterminet, an quædam ſit quæ non niſi indeterminate. Sed & ad primam Philoſophiam extendi hanc diſquiſitionem reperies. Diſquiret enim & Theologus Qua ratione a providentia omnia quæ in mundo fiant regantur, & an omnia quæ fiunt, determinate & ex neceſſitate fiant, ſicut ea quæ inſunt rebus æternis, an ſint quædam quæ ex contingenti eveniunt, quorum origo ad cauſas plane particulares & alio tempore aliter ſe habentes referri debet.

Imo nec eos homines qui plane privatam & rudem vitam degunt ab hujus diſquiſitionis contemplatione abſtinentes reperies, ſed & hos quidem peccatorum ſuorum cauſas, ut quæ ex neceſſitate fiant omnia, ad fatum aut Providentiam, eamque & divinam & Genialem referendas cenſentes, (quemadmodum ille qui rudiuſcule apud Homerum pronunciat,

——Non his ego cauſa, ſed ipſe
Jupiter & Fatum, quæque aere regnat Erinnys.)

Alios vero, ut qui quaſdam res in poteſtate noſtra poſitas eſſe cenſeant, iſtis fatalis neceſſitatis aſſertoribus ſeſe opponentes, noſque ex motu proprio diſciplinæ ut & virtutis curam ſuſcipere aſſerentes.

§. III- Cum igitur diſquiſitio hæc tantum ad univerſam vitam noſtram vim habeat, neceſſarium exiſtimo eorum qui

γὰρ καὶ ὁ θεολόγος κατά τινα τρόπον ὑπὸ τῆς προνοίας διακυβερνᾶσθαι τὰ ἐν τῷ κόσμῳ πράγματα, καὶ εἴτε πάντα ὡρισμένως καὶ ἐξ ἀνάγκης γίνεται τὰ γινόμενα, καθάπερ τὰ ἐπὶ τῶν ἀϊδίων ὑπάρχοντα, ἢ ἔστι τινὰ καὶ ἐπὶ ἐνδεχομένων ἐκβαίνοντα, ὧν τὴν γένεσιν ἐπὶ μερικὰς δηλονότι καὶ ἄλλοτε ἄλλως ἐχούσας αἰτίας, ἀνάγειν ἀνάγκη.

Καὶ οὐδὲ τοὺς πάνυ ἰδιωτικῶς διακειμένοις τῶν ἀνθρώπων εὑρήσεις ἀμελοῦντας τῆς περὶ τούτου τοῦ θεωρήματος ἐννοίας, ἀλλὰ τοὺς μὲν, ὡς πάντων ἐξ ἀνάγκης γινομένων, τὰς αἰτίας ὧν ἁμαρτάνοισιν ἐπὶ τὴν εἱμαρμένην ἢ τὴν πρόνοιαν, τὴν τε θείαν καὶ τὴν δαιμονίαν ἀναφέρειν πειρωμένοις, καθάπερ ὁ ἀπαιδεύτως παρ᾽ Ὁμήρῳ λέγων,

——— Ἐγὼ δ᾽ οὐκ αἴτιός εἰμι,
Ἀλλὰ Ζεὺς, καὶ μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.

τοὺς δὲ, ὡς ὄντων τινῶν καὶ ἐφ᾽ ἡμῖν, ἀπομαχομένοις μὲν τοῖς πάντα ἀναγκάζοισιν, ἀξιοῦντας δὲ ἡμᾶς ὡς αὐτοκινήτους παιδείας τε καὶ ἀρετῆς ἐπιμέλειαν ποιεῖσθαι.

Τοσαύτην οὖν δύναμιν ἔχοντος τοῦ θεωρήματος πρὸς πάντα ἡμῶν τὸν βίον ἀναγκαῖον, ἡγοῦμαι τῶν πάντα ἀναγκάζειν §.III.

τάζειν πειρωμένων λόγων τοὺς δοκοῦντας παρέχειν τινὰ τοῖς ἀκούουσιν ἀπορίαν ἐκδέξασθαί τε καὶ διαλῦσαι· δύο δὲ τούτων ὄντων, τοῦ μὲν λογικωτέρου, τοῦ δὲ πραγματειωδεστέρου, ὁ μὲν λογικώτερος προάγεται ὡς ἐπί τινος ἡμῶν ἐνεργείας, οἷον τῆς κατὰ τὸ θερίζειν, τὸν τρόπον τοῦτον, Εἰ θεριεῖς, φησιν, οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς, καὶ εἰ μὴ θεριεῖς, ὡσαύτως οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως οὐ θεριεῖς. ἀλλὰ μὴν ἐξ ἀνάγκης ἤτοι θεριεῖς, ἢ οὐ θεριεῖς. ἀνήρηται ἄρα τὸ τάχα, εἴπερ μή τε κατὰ τὴν ἀντίθεσιν τοῦ θεριεῖν πρὸς τὸ μὴ θεριεῖν ἔχει χώραν, ἐξ ἀνάγκης τοῦ ἑτέρου τούτων ἐκβαίνοντος, μήτε κατὰ τὸ ἑπόμενον ὁποτέρᾳ οὖν τῶν ὑποθέσεων. τὸ δὲ [τάχα] ἦν τὸ εἰσφέρον τὸ ἐνδεχόμενον· οἴχεται ἄρα τὸ ἐνδεχόμενον. Πρὸς τοῦτον οὖν τὸν λόγον ῥᾴδιον ἀπαντᾷν, λέγοντας, ὡς ὅταν φάσκητε τὸ, εἰ θεριεῖς, οὐχὶ τάχα μὲν θεριεῖς, τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς, πῶς ἀξιοῖτε ὑποτίθεσθαι τὸ θεριεῖν, ὡς ἀναγκαῖον, ἢ ὡς ἐνδεχόμενον; Εἰ μὲν γὰρ ὡς ἐνδεχόμενον,

omnia Fato ſubjicere, conantur argumenta, quotquot quibuſvis audientibus ſcrupulum aliquem injicere poſſe videantur, exponere & diſſolvere. Et cum hujus generis duo tantum ſint argumenta, unum quod ad Logicam magis, alterum quod magis ad res gerendas pertineat, primum locum occupat diſputatorium illud, & fundatur in quavis actione noſtra; exempli gratia in meſsione, ad hunc modum, Si, inquiunt, metes, non forte quidem metes; forte autem non metes, ſed omnino metes: Et ſimiliter, Si non metes, non forte quidem metes; forte autem non metes, ſed omnino non metes. Siquidem ex neceſsitate omnino eſt ut vel meſſem facturus ſis vel non facturus. Aufertur igitur illud [forte,] cum nec in oppoſitione quæ eſt inter metere & non metere locum habeat, neceſſe enim eſt ut horum alterum eveniat, neque in eo quod ex harum ſuppoſitionum alterutro conſequitur. Illud autem [forte] vox erat ex qua contingentia vel ambiguitas eventus inferebatur. Abiit igitur contingentia. Huic argumento facilis eſt reſponſio, ſi quæramus, Cum ſic argumentamini, Si metes non quidem forte metes, forte non metes, ſed omnino metes, quo ſenſu illud metes poni vultis, ut neceſſarium vel ut contingens? ſi enim ut contingens tunc plane habemus quod poſtulamus: Si vero ut neceſſarium, primo quid illud eſt, niſi principii petitio, illud enim ut perſpicuum vobis concedi poſtulatis quod ipſum in quæſtione eſt? Deinde & verum quidem erit eum omnino meſſurum; & ſi ſic, non jam amplius locum habebit locutio iſta, Vel metes vel non metes. Quomodo enim cum unum horum neceſſario eveniat, alterum vero ſit impoſſibile, locum habere poſsit locutio iſta, At vero vel hoc eſt, vel illud? Non igitur bene illis ſuccedit hæc argumentatio.

§. IV. Alterum vero illud argumentum quod ad res gerendas pertinet, tantamque in ſe difficultatem habet, ut vix opponi poſſe videatur, adeoque multos eorum qui eruditiores putantur ſecum trahit ad ſententiam iſtam quæ contingentiam eventuum omnino tollit, ex hujuſmodi partitione procedit, Aut, inquiunt, contingentiam eventus definite norunt Dii immortales, aut nullam omnino eorum cognitionem habent, aut demum indefinitam eorum, quemadmodum nos mortales, ſcientiam habent. Quod ad ſecundum attinet, illud neutiquam concedi poteſt, quicquam illos latere qui omnia producunt & gubernant, ipſique mentes ſunt

cum

τον, ἔχομεν τὸ ζητούμενον· εἰ δὲ ὡς ἀναγκαῖον, πρῶτον μὲν αὐτὸ αἰτεῖσθε τὸ ἐξ ἀρχῆς ζητούμενον συγχωρεῖσθαι ὑμῖν, ὡς ἐναργές· ἔπειτα ἀληθὲς μὲν ἔσται τὸ πάντως θεριεῖν. οὐκέτι μέν τοι χώραν ἕξει τὸ λέγειν, ἀλλὰ μὴν εἴτε θεριεῖς, ἢ οὐ θεριεῖς. πῶς γὰρ τοῦ ἑτέρου τούτων ἐκβαίνοντος ἀναγκαίως, τοῦ δὲ ἑτέρου δηλονότι ἀδυνάτου ὄντος, χώραν ἔχει τὸ λέγειν, ἀλλὰ μὴν ἢ τόδε ἐστὶν, ἢ τόδε; ὥστε οὐ πρόεισιν αὐτῇ τέως αὐτοῖς ἡ ἐπιχείρησις.

§.IV. Ὅδε γε ἕτερος τῶν λόγων οὕτως ὢν πραγματειώδης καὶ δυσαντίβλεπτος, ὥστε καὶ πολλοὺς τῶν ἐπιστατικωτέρων εἶναι δοκούντων ἀπάγεσθαι πρὸς τὴν ἀναιροῦσαν τὸ ἐνδεχόμενον δόξαν, πρόεισιν ἐκ διαιρέσεως τοιαύτης· οἱ θεοὶ φασὶν, ἤτοι ὡρισμένως ἴσασι τὴν ἔκβασιν τῶν ἐνδεχομένων, ἢ παντάπασιν οὐδὲ μίαν αὐτῶν ἔχουσιν ἔννοιαν, ἢ καθάπερ ἡμεῖς, ἀόριστον αὐτῶν ἔχουσι τὴν γνῶσιν· ἀλλ' ἀγνοεῖν μὲν οὐδὲν τῶν ὄντων αὐτοὺς ἐνδέχεται, τὰ πάντα παραγαγόντας τε καὶ διακοσμοῦντας, τούς τε παντελῶς ἀμιγεῖς πρὸς ὕ-

λην

λὴν ὄντας· μᾶλλον δὲ εἰ χρὴ τὸ ἀκριβέστερον φάναι, καὶ ὑπὲρ τὴν νοερὰν αὐτὴν ἰδιότητα, τὴν ὄντως ἑαυτῶν ὕπαρξιν ἱδρυμένους. Οὔτε γὰρ αὐτόματον ἐρριμένην εἶναι τῶν ὄντων τὴν φύσιν τε καὶ τάξιν, οὔτε τοὺς θεοὺς εὔλογον ἢ ἀγνοεῖν ἅπερ παράγουσιν, ἢ ὥς τινας ἀφερεπόνους καταολιγωρεῖν τῆς τε γνώσεως αὐτῶν, καὶ τῆς διακοσμήσεως. Τὸ γὰρ ὑπολαμβάνειν, ὡς ἐργώδη τε καὶ ἄσχολον ποιοῦμεν τὸν τῶν θεῶν βίον, καὶ ἄμοιρον τῆς τοῖς θεοῖς μὴ προσηκούσης ἔκφερον ῥᾳστώνης, ἐπιμελεῖσθαι τῶν κατὰ μέρος αὐτοὺς ἀποφαινόμενοι, μὴ συνεωρακότων ἐστὶ τὴν ὑπεροχὴν τῆς τῶν θεῶν γνώσεώς τε καὶ δυνάμεως πρὸς τὴν ἡμετέραν, καὶ διὰ τὴν ἄγνοιαν ταύτην ἀξιούντων ἐκ τῶν περὶ ἡμᾶς τὰ κατὰ τοὺς θεοὺς σταθμᾶσθαι, καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐπ' ἐκείνους μεταφέρειν· ὡς τοῦ μὲν βασιλέως ἡλίου ἅπαντα ἅμα τὰ ἐν τῷ κόσμῳ καταλάμπειν δυναμένου, (πλὴν εἰ μή τισιν ἀντιφράττοιτό ποτε τινα τῶν μὴ διαφανῶν, ἀλλὰ στερεῶν σωμάτων) τῆς δὲ ἀσωμάτου, καὶ παντάπασιν ἀΰλου τῶν θεῶν δυνάμεως οὐ δυναμένης ἀπαραποδίστως τε καὶ ἀθρόως ἅπασιν ἅμα παρεῖναι τοῖς οὖσιν, οὐδενὸς ἀντιφράττειν αὐτῇ δυναμένου πλὴν τῆς ἡμετέρας ἀνεπιτηδειότητος·

οὐδὲ

cum materia nullatenus permixtæ. Imo, ſi accuratius loqui velimus, ſuper ipſam intellectivam proprietatem, eam quæ vere ipſorum eſt ſubſiſtentiam collocatam habent. Neque aut rerum omnium naturam & diſpoſitionem, ſuo motu & ſponte productam eſse dicemus; neque rationi conſonum putabimus, aut Deos ea quæ producunt ignorare, aut ut tanti laboris intolerantes, eorum cognitionem aut regimen negligere. Qui enim laborioſam & negotioſam vitam Diis tribui putant, eamque quæ hebetis & ſtupidæ ignaviæ, Diis nullatenus competentis, expers ſit, ſi particulares eventus illis curæ eſse affirmemus, næ illi non vident divinæ & cognitionis & potentiæ eminentiam ſuper eam quæ nobis mortalibus competit, & ob ejus rei ignorationem ex noſtrarum rerum modulo divinas actiones expendere & æſtimare volunt, & infirmitates noſtras in eos transferre. Quaſi vero Sol in regno ſuo omnia ſimul quæ in mundo ſunt illuſtrare valeat (ni forte in aliqua luci non pervia ſed ſolida & compacta corpora incidat) Incorporea vero & omnimodo immaterialis Deorum vis omnibus ſimul creaturis adeſse non poſsit, quin impediatur & obſtruatur, cum revera nihil eorum potentiæ obſtare poſsit, præter unicam noſtram inidoneitatem. Imo nec tunc etiam Providentia Deorum revera impediatur ſeu reſpectu cognitionis ſeu curationis rerum noſtrarum, nobis tantummodo illud accidat quod reſpectu ſolarium radiorum dormientes & oculos claudentes patiuntur. Ut enim illi calore fruuntur qui terræ hujus incolis a ſole datur, ſeipſos tamen illuminativa illius poteſtate orbant, idque ex propria cujuſque electione, non ob aliquam Dei iram radios ſuos ab illis retrahentis; ſic & illi qui ob pravam vitæ inſtitutionem extra Deorum providentiam excidere dicuntur, non tamen revera ſunt extra eam. Nec enim quiſquam vel ita puſillus eſt (ut Athenienſis hoſpes dicit) ut in terræ profundum deſcendens providentiam divinam omnia etiam minima inſpectantem latere poſsit, vel ita grandis ut tranſcendere cœlum & extra Providentiam univerſa gubernantem effugere queat. Id tantum conſecuturi, ut cum Deorum potentiis bona quæque de ſuo nobis largientibus ſeſe orbaverint, in eas quæ per pœnas & ſupplicia eos ad ſtatum naturæ conſentaneum reductura ſunt neceſsario incidant.

§. V. Cum igitur hæc ſecundum communes & minime diſtortas animorum noſtrorum notiones in confeſso ſint inter omnes, & in Platonis de legibus libro decimo

οὐδὲ τότε κατ' ἀλήθειαν τῆς προνοίας τῶν θεῶν παραποδιζομένης, ἢ πρὸς τὴν γνῶσιν τῶν καθ' ἡμᾶς, ἢ πρὸς τὴν ἐπιμέλειαν, ἀλλὰ ἡμῶν αὐτῶν παραπλήσια πασχόντων τοῖς ὑπὸ τὸ φῶς τὸ ἡλιακὸν καθεύδουσιν, ἢ καὶ μύουσιν. ὥσπερ γὰρ ἐκεῖνοι τῆς μὲν θερμότητος τῆς ἀπὸ τοῦ ἡλίου τοῖς τῇδε παρεχομένης τυγχάνουσι, τῆς δὲ φωτιστικῆς αὐτοῦ δυνάμεως ἑαυτοὺς ἀποστεροῦσι διὰ τὴν οἰκείαν αἵρεσιν, ἀλλὰ οὐ διά τινα τοῦ θεοῦ μῆνιν ἀναστέλλοντος ἀπ' αὐτῶν τὰς οἰκείας ἀκτῖνας, οὕτω καὶ οἱ διά τινα κακοζωΐαν ἔξω τῆς προνοίας τῶν θεῶν λεγόμενοι πίπτειν, οὐ παντάπασίν εἰσιν αὐτῆς ἔξω. Οὐ γὰρ ἂν γένοιτό τις, ὅπερ φησὶν ὁ Ἀθηναῖος ξένος, ἢ οὕτω σμικρὸς ὥστε καταδὺς εἰς τὸ βάθος τῆς γῆς λαθεῖν τὴν ἅπαντα καὶ τὰ σμικρότατα ἐποπτεύουσαν πρόνοιαν, οὐδὲ οὕτω μέγας ὥστε ὑπερπτῆναι τὸν οὐρανὸν καὶ γενέσθαι ἔξω τῆς διακοσμούσης τὰ ὅλα προνοίας, ἀλλὰ τῶν αὐτόθεν νεμουσῶν ἡμῖν τὰ ἀγαθὰ δυνάμεων τῶν θεῶν ἑαυτοὺς ἀποστερήσαντες, τυγχάνουσιν ἀναγκαίως τῶν διὰ τιμωρείας καὶ κολάσεως περιαγουσῶν αὐτοὺς εἰς τὸ κατὰ φύσιν.

§.V. Τούτων δὴ κατά τε τὰς κοινὰς καὶ ἀδιαστρόφους τῶν ψυχῶν ἐννοίας ὁμολογουμένων ὄντων, καὶ ἐν τῷ δεκάτῷ τῶν νόμων ἐναργῶς ἀποδεδειγμένων, οὔτε ἀγνοεῖν ἡμέτερα τοὺς θεοὺς δυνατὸν, οὔτε ἀόριστον αὐτῶν γνῶσιν ἔχειν, ὥσπερ εἰκάζοντας περὶ τῶν ἐκβησομένων. πρῶτον μὲν γὰρ ὡς ὁ Τιμαῖος ἡμᾶς ἐδίδαξε, καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται, καὶ περὶ τούτων Παρμενίδης, οὐχ ὁ παρὰ Πλάτωνι μόνον, ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν, οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς, οὔτε μέλλον, οὔτε τούτων μὲν ἑκάτερον οὐκ ὂν, τὸ μὲν οὐκέτι, τό δε οὔπω, καὶ τὸ μὲν μεταβεβληκὸς, τὸ δὲ πεφυκὸς μεταβάλλειν. Τὰ δὲ τοιαῦτα τοῖς ὄντως οὖσι, καὶ μεταβολὴν οὐδὲ κατ᾽ ἐπίνοιαν ἐπιδεχομένοις, προσαρμόττειν ἀμήχανον. Προηγεῖσθαι γὰρ ἀνάγκη τὸ παντελῶς ἀμετάβλητον τοῦ ὁπωσοῦν μεταβάλλοντος, ἵνα καὶ μένῃ μεταβάλλον, ὥς τε ἐπὶ θεῶν ἀρχῆς ἐχόντων πρὸς τὰ ὄντα λόγον, τὸ παρεληλυθὸς, ἢ τὸ μέλλον θεωρεῖσθαι ἀδύνατον, ἀλλὰ πάντα παρ᾽ αὐτοῖς ἐν ἑνὶ τῷ νῦν ἐστι τῷ αἰωνίῳ ἱδρυμένα, τῶν χρονικῶν μέτρων ἅμα τῇ ὑποστάσει τοῦ παντὸς ἀναφαινομένων, καὶ μόνα μετρούντων τὰ κατὰ χρόνον ἔχοντα ἢ τὴν ὑπόστασιν ἢ τὴν ἐνέργειαν· ὥς τε καὶ τὴν εἰκαστικὴν

γνῶσιν

cimo dilucide demonſtrata, impoſsibile eſt ut aut ignorent noſtra Dii immortales, aut indefinitam eorum cognitionem habeant, qualis iis competit qui de futuris eventibus conjecturam faciunt. Primum enim, ut a Timeo diſcimus, & ut Ariſtoteles ipſe de divinis agens affirmat, & ante illos Parmenides, non ſolum apud Platonem, ſed & in ipſius carminibus, nihil eſt apud Deos aut præteritum aut futurum, nec de quo dici poſsit, utramvis partem acceperis, jam non eſt, unum quidem jam non ulterius, alterum autem nondum, & hoc quidem mutationem accepit, hoc vero aptum mutari. Has vero & tales locutiones iis quæ revera ſunt & mutationis ne per cogitationem capacia ſunt, accommodare impoſsibile eſt. Illud enim quod nullatenus mutari poteſt, neceſse eſt ut antecedat rem illam quæ quovis modo mutet, ut ea mutans maneat: ideoque cum Dii ad omnia entia principii rationem habeant, impoſſibile eſt ut præteritum aut futuram in illis cogitetur. Omnia vero apud eos in uno inſtanti eoque æterno collocantur, menſuris quippe temporum ſimul cum productione univerſi ſeſe excedentibus, & ea ſolum metientibus quæ in tempose aut ſubſiſtentiam ſuam habent aut operationem. Unde illud concludi æquum eſt, conjecturalem ſcientiam procul quidem a Diis immortalibus abjiciendam eſſe, & ad extremas oras rationalis naturæ deprimendam. Quomodo igitur eo nos dementiæ veniemus, ut unam eandemque ſcientiam Diis & nobis communem eſſe putemus, nihil ſublimius illorum tribuentes ſcientiæ, quam noſtræ, utramque dubiam & indefinitam profiteri audentes. Ejuſdem enim ratiocinationis ſeu potius dementiæ eſt, & irrationalium animalium cognitionem cum noſtra æquare, iiſque tribuere æque ac nobis Univerſalium & intelligibilium comprehenſionem. Summatim vero, ſi neceſſarium plane ſit ut Dii immortales rerum omnium aut unicæ aut auxiliares cauſæ ſint, rationi congruum eſſe non poteſt, ut aut fœtus ſuos aut fœtuum ſuorum opera ignorent, aut ut eorum quæ ab iis quovis modo fiant, ut quæ ad ipſos nihil attineant, nec in eorum poteſtate poſita ſint, ſcientiam non niſi ambiguam habent: Utramvis enim horum poſueris, impoſſibile erit ut Dii eorum quæ ad nos attinent curam habeant, ſecundum aliquem Providentiæ modum, qui Diis competat. Id vero eſt ut ab ipſa natura rerum quarum providentiam habent, earum curam gerant, & quaſi ex puppe eas regant, non conſultando de ipſis, ut poetæ dicunt, conſultatio enim prudentiæ defectum arguit, nec alia

γνῶσιν πόῤῥω που τῶν θεῶν, καὶ ἐν τῇ ἀποπερατώσει τῆς λογικῆς ζωῆς ἀπεῤῥῖφθαι ἀναγκαῖον. Ἔπειτα πῶς ἂν δόξαιμεν καλὰ βραχὺ γοῦν σωφροσύνης μετέχειν τῇ γνώσει τῶν θεῶν, μηδὲν πλέον ἀξιοῦντες τῆς ἡμετέρας ἀπονέμειν, ἀλλὰ τολμῶντες ἀμφίβολον αὐτὴν, καὶ ἀόριστον ὁμολογεῖν. τῆς γὰρ αὐτῆς ἐστι διανοίας, μᾶλλον δὲ ἀνοίας, καὶ τῶν ἀλόγων ζώων τὴν γνῶσιν παραβάλλειν πρὸς τὴν ἡμετέραν, μεταδιδόναι τε κἀκείνοις τῆς ἀντιλήψεως τῶν καθόλου, καὶ τῶν νοητῶν. Ὅλως δὲ, εἰ πᾶσι ἀνάγκη τῶν ὄντων ἁπάντων αἰτίοις εἶναι τοὺς θεοὺς, ἢ προσαιτίοις, πῶς ἂν ἔχοι λόγον ἢ ἀγνοεῖν αὐτοὺς τὰ οἰκεῖα γεννήματα, ἢ τὰ τῶν οἰκείων γεννημάτων ἀποτελέσματα, ἢ τὰ ὑπ' ἐκείνων καθ' οἷον δήποτε τρόπον γινόμενα, ἢ ὥσπερ οὐδὲν αὐτοῖς προσηκόντων, οὐδὲ ἐπ' αὐτοῖς κειμένων, ἀμφίβολον ἔχειν τὴν γνῶσιν; κατ' οὐδετέραν δὲ τούτων τῶν ὑποθέσεων ἐπιμελεῖσθαι τοὺς θεοὺς τῶν περὶ ἡμᾶς δυνατὸν, κατὰ τὸν θεοῖς προσήκοντα τρόπον τῆς προνοίας. Τοῦτο δέ ἐστιν ἀπ' αὐτῆς τῆς οὐσίας τῶν προνοουμένων ποιουμένοις αὐτῶν τὴν ἐπιμέλειαν, καὶ ὥσπερ ἐκ πρύμνης αὐτὰ διακοσμοῦντας, οὐ τῷ βουλεύεσθαι περὶ αὐτῶν, ὡς οἱ ποιηταὶ λέγουσιν, ἔνδεια γὰρ ἡ βούλησις φρονήσεως, ως, οὐδὲ τῷ ἄλλοτε ἄλλα βουλεύεσθαι, καὶ ποιεῖν, ἀλλότριον γὰρ τοῦτο τῆς μιᾶς, καὶ ἁπλῆς, καὶ ἀτρέπτου παντάπασιν αὐτῶν ἐνεργείας, καὶ μόνοις προσῆκον τοῖς ὑπὸ χρόνου μετρουμένοις, καὶ μετὰ προαιρέσεως τὰς ἐνεργείας ποιουμένοις, ἀλλ' αὐτῷ φασι τῷ εἶναι, καθάπερ ὁ ἥλιος οὐ βουλευόμενος, οὐδὲ κινούμενος, ἀλλὰ τῷ εἶναι καὶ ἀεὶ μένειν ἐπινοηθεὶς, πληροῖ τὰ μετέχειν δυνάμενα τοῦ οἰκείου φωτός· οὔτε οὖν τὴν πρόνοιαν αὐτῶν οὔπω γίγνεσθαι δυνατὸν, οὔτε τὸ εὔχεσθαι, καὶ ἱκετεύειν αὐτοὺς ὑπὲρ ὑετοῦ τυχὸν, ἢ σωτηρίας καρπῶν, ἢ νίκης, ὧν τὴν ἔκβασιν ἀγνοοῦσι, πόῤῥω ἂν ἐμπληξίας εἴη. Εἰ δὲ ταῦτα καὶ ἀδύνατα καὶ οὔτε λέγειν, οὔτε διανοεῖσθαι ὅσια, καὶ ὑπ' αὐτῆς ἐλεγχόμενα τῆς πείρας, ὡς αἱ πολύστοιχοι τῶν θείων ἐνεργειῶν πραγματεῖαι, καὶ τὰ καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέραν γινόμενα τοῖς ἐφιστάνειν αὐτοῖς δυναμένοις σημαίνουσι, δῆλον ὅτι καὶ διατάττεσθαι ὑπὸ τῶν θεῶν τὰ ἐνδεχόμενα ῥητέον, καὶ ὡρισμένως γινώσκεσθαι αὐτῶν τὴν ἔκβασιν. Μᾶλλον γὰρ ἦν εἰκὸς τὰ ἀΐδια τῶν πραγμάτων περιορᾶσθαι ὑπὸ αὐτῶν, ἔρημα τῆς ἐπιβαλλούσης αὐτοῖς προνοίας, ἢ τὰ ῥευστὴν ἔχοντα φύσιν, εἴπερ ἐκεῖνα μὴ ἀπὸ τῆς ἑαυτῶν φύσεως τὸ ὡρισμένον ἔχει, καὶ

ἀτρε-

alias conſultando & faciendo, illud enim ab una & ſimpliciſſima, & perpetuo immutabili eorum operatione alienum eſt, & iis tantum convenit quæ a tempore menſurantur, & quæ cum deliberatione operantur, ſed ipſo, ut dici ſolet, ſuo eſſe, ſicut Sol ſine conſultatione aut motione, ſeu mutatione, ſed eo ipſo quod eſt, & ſemper manere intelligitur, ea omnia quæ capacia ſe præbent lumine ſuo implet; Nec igitur poſſibile eſt ut eo modo Providentia eorum conſiſtat, nec procul ab inſania erit, aut precari aut iis vota facere, pro pluvia nempe, aut ſalute fructuum, aut victoria, quarum quippe rerum eventum ipſi quibus precamur ignorant. Sin vero hæc nec fieri poſſint, nec ſine impietate aut dici aut cogitari, quinimo ab ipſa experientia redarguantur, cum multiplicia divinarum operationum negotia, & quæ indies, ut ſic dicam, fiunt, iis qui ea ſuſtinere poſſunt oſtendant, ſtatuendum eſt ſine omni dubio contingentia quæque a Diis ordinari, & exitum eorum ab iis determinate cognoſci. Imo multo æquius foret æterna a Diis immortalibus negligi, & impoſita iis Providentia orbari, quam hæc fluxam naturam habentia, quandoquidem illa ſua ipſorum natura determinationem accipiunt & immutabilitatem talem quippe a Diis ſubſiſtentiam ſortita, hæc vero quæ genita ſunt, propter fluxilem materiæ ſuæ conditionem omnimodæ mutationi obnoxia, nec eſſe, nec contineri nec gubernari poſſunt, niſi a cauſa eorum quæ eodem modo ſemper ſe habent formatrice & moderatrice (non inquam illa univerſali ſolum & exempta, ſed hac magis particulari & propinqua) quamplurimum trahant. Quemadmodum inter homines pueros majoris curæ & ſolicitudinis egere videmus quam viros, ſtultoſque quam ſapientes. Sin vero contingentia cognoſcant Dii immortales, imo & determinate cognoſcant (ne, ut diximus, indefinitam faciamus eorum cognitionem) ſi, inquam, ſciant muro tantummodo ligneo Athenas a Barbarorum incurſu ſervatum iri, divinamque Salamina mulierum liberos perdituram, Cræſumque Halym tranſeuntem magnum imperium peſſundaturum, ut & Laium liberos ſerentem, univerſam familiam ſuam perditurum, manifeſtum eſt hæc non poſſe non evenire, aut ſi poſſint, Deos mentiri neceſſe eſt. Horum igitur unum dicendum eſt, vel omnia neceſſario evenire & ita ut a Diis æquum eſt ea & cognoſci & prædici, & ita Contingere inane nomen erit, aut quædam ſaltem eſſe quæ nec ſciuntur nec curantur a Diis immortalibus:

ἄτρεπτον, τοιαύτην θεόθεν τὴν ὑπόστασιν εἰληχότα, τὰ δὲ ἐν γενέσει, διὰ τὸ ῥευστὸν τῆς οἰκείας ὕλης, ἐν παντοδαπῇ μεταβολῇ φέρεσθαι πεφυκότα, οὔτ' εἶναι, οὔτε συνέχεσθαι καὶ διακοσμεῖσθαι δυνατὸν, μὴ πολλῆς τυχόντα τῆς τῶν ἀεὶ ὡσαύτως ἐχόντων δημιουργικῆς τε καὶ προνοητικῆς αἰτίας, οὐ μόνον τῆς ὁλικωτέρας, καὶ ἐξῃρημένης, ἀλλὰ καί τινος μερικωτέρας, καὶ προσεχεστέρας. ὥσπερ καὶ τῶν ἀνθρώπων τοὺς παῖδας ὁρῶμεν πλείονος δεομένους ἐπιμελείας ἢ τοὺς ἄνδρας, καὶ τοὺς ἀνοήτους ἤπερ τοὺς ἔμφρονας. Εἰ δὲ γινώσκουσιν οἱ θεοὶ τὰ ἐνδεχόμενα, καὶ ὡρισμένως γινώσκουσιν, (ἵνα μὴ, ὅπερ ἐλέγομεν, ἀόριστον αὐτῶν ποιῶμεν τὴν γνῶσιν) καὶ ἴσασιν ὅτι μόνον τὸ ξύλινον τεῖχος σώσει τὰς Ἀθήνας ἐκ τῶν βαρβαρικῶν κινδύνων, καὶ ἡ θεία Σαλαμὶς ἀπολεῖ τὰ τέκνα τῶν γυναικῶν, καὶ ὁ Κροῖσος τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει, καὶ ὁ Λάϊος παιδοποιῶν ἄφρων ἀνατρέψει πᾶσαν αὐτοῦ τὴν οἰκίαν, δῆλον ὅτι οὐχ οἷόν τε ταῦτα μὴ ἐκβαίνειν, εἰ δὲ μὴ, ψεύδεσθαι αὐτοὺς ἀναγκαῖον. Δυοῖν οὖν θάτερον, ἢ πάντα ἀναγκαίως καὶ ὡς εἰκὸς ὑπὸ τῶν θεῶν γινώσκεσθαί τε καὶ προλέγεσθαι, φήσομεν ἐκβαίνειν, καὶ τὸ ἐνδεχόμενον ὄνομα ἔσται κενὸν, ἢ οὔτε γινώσκεσθαι ὑπὸ τῶν θεῶν οὔτε προνοεῖσθαι τὰ τῇδε φήσομεν. ἀλλὰ μὴν τοῦτο ἀδύνατον, οἴχεται τὸ ἐνδεχόμενον.

§. VI. Πρὸς τοῦτον οὖν τὸν λόγον δυσπερίβλεπτον, ὥσπερ ἐλέγομεν, ὄντα, καὶ ὑπ' αὐτῆς δοκοῦντα τῆς ἐναργείας κρατύνεσθαι, ὡς αἱ τῶν μαντειῶν περιφράσεις δηλοῦσιν, ἀπαντῶντες ἡμεῖς κατὰ τὴν τοῦ θείου Ἰαμβλίχου ὑφήγησιν, τὰ διάφορα μέτρα τῶν γνώσεων διαιρεῖν ἀξιώσομεν, λέγοντες, ὡς ἡ γνῶσις μέση ἐστὶ τοῦ τε γινώσκοντος, καὶ τοῦ γινωσκομένου, εἴπερ ἐστὶν ἐνέργεια τοῦ γινώσκοντος περὶ τὸ γινωσκόμενον, οἷον τῆς ὄψεως περὶ τὸ λευκόν, πότε μὲν κρειττόνως γινώσκει τὸ γινωσκόμενον τῆς αὐτοῦ τοῦ γνωστοῦ φύσεως, πότε δὲ χειρόνως, πότε δὲ συστοίχως. Ὅταν μὲν γὰρ τὸν νοῦν τὸν ἡμέτερον τὰς πολιτικὰς τῶν πράξεων προχειριζόμενον λέγομεν γινώσκειν τὰ καθ' ἕκαστα τῶν πραγμάτων, ἀναφέροντα ταῦτα ἐπὶ τὰ καθόλου, καὶ δι' ἐκείνων ὡς οἰκείων γινώσκειν αὐτὰ πειρώμενον, δῆλον ὅτι κρείττονα ἐνταῦθα ἐροῦμεν εἶναι τοῦ γινωσκομένου τὴν γνῶσιν, εἴπερ μεριστὸν μὲν καὶ ἐν μεταβολῇ τινι καθ' ἕκαστον. ὁ δὲ λόγος καθ' ὃν ταῦτα ὁ νοῦς ὁ πρακτικὸς γινώσκει, ἀδιαίρετός ἐστι καὶ ἀμετάβλητος. Ὅταν δὲ αὐτὸς πρὸς ἑαυτὸν ἐπιστρεφόμενος, καὶ κατὰ τὰς καθαρτικὰς ἐνεργῶν ἀρετὰς τὴν οὐσίαν τὴν ἑαυτοῦ θεωρῇ,

σύστοιχον

talibus. Quod cum impoſſibile ſit; evanuit igitur Contingens.

§. VI. Huic itaque argumento ut occurramus quod repugnatu difficile eſſe diximus, quodque ab ipſa rei evidentia confirmari videtur, ut ex vatum prædictionibus perſpici poteſt, petenda reſponſio eſt ex divini Jamblichi diſciplina, Diverſas ſcilicet cognitionum menſuras, eaſque diligenter diſtinguendas eſſe, Cognitionem quippe cum ſit media inter cognoſcentem & rem cognitam, operatio quippe cognoſcentis circa rem cognitam, ut viſionis circa album, aliquando quidem excellentiori modo rem cognitam cognoſcere quam ſit ipſius cognoſcibilis natura, aliquando deteriori modo, aliquando pariliter. Cum enim mentem noſtram actiones civiles tractantem res ſingulas cognoſcere dicimus, eas ad univerſalia referendo, & per hæc ut ſibi propria res quaſque cognoſcere tentando, tunc liquido affirmamus ſcientiam iſtam re cognita præcellentiorem eſſe, quoniam diviſibiles quidem & mutabiles ſunt res ſingulares, ratio autem, per quam intellectus actiones eas cognoſcit, indiviſibilis eſt & immutabilis. Quotieſcunque vero mens in ſeipſam converſa, & ſecundum purgativas virtutes operans eſſentiam ſuam contemplatur, toties cognitionem re

cognit

cognitæ parilem eſſe neceſſum eſt. Cum vero ad perfectionis ſuæ extremum ambitum aſcenderit, & virtutum eas quæ ſunt intellectuales aut ſpeculativæ tractans ea contempletur quæ ad Deorum gubernationes pertinent, modumque quo illa ex uno omnium principio procedunt, & quæ ſint ſingularum proprietates, tunc cognitionem re cognita inferiorem eſſe neceſse eſt. Cum igitur hæc ita ſe habeant, dicendum eſt Deos omnia quidem & præterita, & præſentia, & futura, modo eo qui Diis convevenit, cognoſcere, id eſt, una & determinata & immutabili cognitione; ideoque contingentium cognitionem comprehendere, ut qui omnia quæ in mundo ſunt producant, cum ſint æternarum naturarum cauſæ unicæ, genitarum vero auxiliares, ſecundum operationes earum ſingulis proprias, & non ſolum naturas eorum perſpicere ſed & poteſtates actuſque, tum hos quidem qui ſecundum naturam ſunt, tum illos qui præter naturam. Præter naturam dico, quod ſimul intravit & neceſsario conjunctum eſt cum rerum exiſtentium degeneratione in iis quæ hujus capacia fuerunt non primario ſed ſecundum adexiſtentiæ modum. Hæc vero contingentia cognoſcunt Dii excellentiori modo quam ſit natura ipſorum. Ideoque hæc indefinitam

σύστοιχον εἶναι ἀνάγκη τῷ γινωσκομένῳ τὴν γνῶσιν. Ὅταν δέ γε ἀνελθὼν ἐπὶ τὸ ἀκρότατον τῆς ἑαυτοῦ τελειότητος, καὶ τὰς θεωρητικὰς τῶν ἀρετῶν προχειριζόμενος θεωρῇ τὰ περὶ τῶν θείων διακοσμήσεων, καὶ ὅπως ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς αὐταὶ παράγονται, καὶ τίς ἑκάστης ἡ ἰδιότης, χείρονα εἶναι ἀνάγκη τοῦ γινωσκομένου τὴν γνῶσιν. Τούτων δὴ οὕτως ἐχόντων, ῥητέον τοὺς θεοὺς γινώσκειν μὲν πάντα τὰ γεγονότα, καὶ τὰ ὄντα, καὶ τὰ ἐσόμενα, ἢ μέλλοντα, τὸν θεοῖς προσήκοντα τρόπον, τοῦτο δὲ ἐστι μιᾷ καὶ ὡρισμένῃ, καὶ ἀμεταβάτῳ γνώσει, διόπερ καὶ τῶν ἐνδεχομένων περιειληφέναι τὴν εἴδησιν, ἅτε καὶ πάντα τὰ ἐν τῷ κόσμῳ παράγοντας, καὶ τῶν μὲν ἀϊδίων οὐσιῶν αἰτίους ὄντας, τῶν δὲ γενητῶν, προσαιτίους, κατὰ τὰς οἰκείας ἑκάστοις αὐτῶν ἐνεργείας, καὶ οἷον ὁρῶντας οὐκ αὐτὰς μόνον τὰς οὐσίας, ἀλλὰ καὶ τὰς δυνάμεις αὐτῶν, καὶ τὰς ἐνεργείας, τάς τε κατὰ φύσιν, καὶ τὰς παρὰ φύσιν, ὅπερ παρὰ φύσιν συνεισῆλθε τῇ ἀναγκαίᾳ τῆς ὑποβάσεως τῶν ὄντων ὑφέσει, τοῖς καὶ τούτου μετέχειν πολὺ πεφυκόσιν, οὐ προηγουμένως, ἀλλὰ κατὰ τὸν λεγόμενον τῆς παρυποστάσεως τρόπον. Γινώσκειν μέν τοι τὰ ἐνδεχόμενα κρειττόνως τῆς αὐτῶν ἐκείνων φύσεως. διόπερ ταῦτα μὲν, ἀόριστον ἔχοντα τὴν φύσιν, δύνασθαί τε ἐκβαίνειν, καὶ μὴ ἐκβαίνειν, ἐκείνους δὲ, ἅτε κρειττόνως τῆς φύσεως αὐτῶν τὴν γνῶσιν αὐτῶν περιειληφότας, ὡρισμένως καὶ ταῦτα εἰδέναι· καὶ γὰρ τὰ μεριστὰ τῶν πραγμάτων ἀμερίστως καὶ ἀδιαστάτως γινώσκειν αὐτοὺς ἀναγκαῖον, καὶ τὰ πεπληθυσμένα ἑνοειδῶς, καὶ τὰ ἔγχρονα αἰωνίως, καὶ τὰ γεννητὰ ἀγενήτως. Οὐ γὰρ δὴ συμπαραθεῖν τῇ ῥύσει τῶν πραγμάτων τὴν τῶν θεῶν γνῶσιν ἀνεξόμεθα λέγειν, οὐδὲ εἶναί τι ἐπ᾽ ἐκείνων ἢ παρεληλυθὸς, ἢ μέλλον, οὐδὲ λέγεσθαι ἐπ᾽ αὐτῶν, ὡς ἐν Τιμαίῳ παρειλήφαμεν, τὸ ἦν, ἢ τὸ ἔσται, μεταβολῆς τινος ὄντα σημαντικὰ, μόνον δὲ τὸ ἔστι, καὶ τοῦτο οὐ τὸ συναριθμούμενον τῷ τε ἦν, καὶ τῷ ἔσται, καὶ ἀντιδιαιρούμενον αὐτοῖς, ἀλλὰ τὸ πρὸ πάσης χρονικῆς ἐμφάσεως ἐπινοούμενον, καὶ τὸ ἄτρεπτον αὐτῶν, καὶ ἀμετάβλητον σημαῖνον, ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ τῷ νοητῷ ὑπάρχειν ἀποφαίνεται· οὐ γὰρ ἔην, οὐδ᾽ ἔσται, φησὶν, ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον. Καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαίαν ἕξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα, διὰ τὸ ὑπὸ θεῶν γινώσκεσθαι ὡρισμένως, οὐ γὰρ διότι γινώσκουσιν αὐτὰ οἱ θεοὶ, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ᾽ ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην, καὶ ἀμφίβολον, πέρας ἕξει πάντως ἢ τοῖον, ἢ τοῖον, διὰ τοῦ-

το

tam naturam habentia poſſunt quidem evenire & non evenire: Illi vero, ut qui cognitionem eorum habeant excellentiorem quam eſt natura ipſorum, determinate etiam & hæc cognoſcunt. Illi enim res partibiles indiviſibiliter & indiſtanter cognoſcunt, reſque multiplicatas uniformiter, ſed & temporaria æterne,& genita ingenite, & ita quidem hæc omnia neceſſario ſtatuenda ſunt. Non enim Deorum cognitionem cum ipſarum rerum fluxione una curſitare dictu tolerabile eſt, neque quicquam apud illos aut præteritum aut futurum: Nec enim de illis dici, ut a Timæo accepimus, Erat, aut Erit; Ea enim mutationem quandam ſignificant, at ſolummodo Eſt. Et illud etiam non connumeratum illi Fuit, & illi Erit, & contradiſtinctum ab illis, ſed ante omnem temporis ſignificationem cogitatum, ipſorumque immutabilitatem & invariabilitatem ſignificans. Hoc idem de omni intelligibili pronuntiat Parmenides, Non enim, inquit, erat, neque erit res omnis, ſed ſolum eſt. Nec igitur cogitandum eſt quod neceſſario eventura ſunt quæ contingentia dicimus, ex eo quod a Deo definite ſciantur; non enim ideo quod ea Dii cognoſcunt, neceſſario eventura ſunt; ſed quandoquidem naturam habentia contingentem & ancipitem talem aut talem eventum habitura ſunt, ideo neceſſarium eſt Deos ſcire quomodo eventura ſunt. Sed eadem plane res quæ natura ſua contingens eſt, cognitione divina non jam indefinita ſed definita eſt. At & illud manifeſtum eſt fieri poſſe, ut cognitione noſtra definite ſciatur eventus contingens, quomodo ſcilicet non jam proprie contingens eſt, ſed ex neceſſitate conſequitur principales cauſas generationis ſuæ. Hinc eſt quod cum ſphæricum corpus quieſcat in plano a Finitore æquidiſtanti, poſſibile eſt, quamdiu planum eandem poſitionem habuerit, aut moveri ſphæram ab aliquo, aut non moveri. Si vero planum inclinetur, impoſſibile eſt eam non moveri. Hinc eſt quod medicos videamus quandoque nihil audenter pronunciantes de ægrotis, utrum convalituri ſunt an morituri, quia utrumvis videatur fieri poſſe, quandoque vero indubitanter de horum altero pronunciantes, quod omnino ægroto obventurum ſit.

§. VII. Quoniam vero quidam confidentius ſe gerentes circa propoſiti theorematis diſquiſitionem, ſe demonſtrare exiſtimant nullam vel ipſis Diis immortalibus contingentium definitam cognitionem eſſe, & in ejus rei argumentum Oracula nobis producant de futuris ambigue pronuntiantia, illis reponi debent quæ magnus Syrianus

πο τοὺς θεοὺς εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. Καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τῶν θεῶν οὐκέτι ἀόριστον ἀλλ᾽ ὡρισμένον. Δῆλον δὲ ὅτι καὶ τῇ ἡμετέρᾳ γνώσει δυνατὸν ὡρισμένως ποτὲ γινώσκεσθαι τὸ ἐνδεχόμενον, ὅτε οὐδὲ κυρίως ἔτι ἐστὶν ἐνδεχόμενον, ἀλλ᾽ ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς προηγησαμένοις αἰτίοις τῆς ἑαυτοῦ γενέσεως. Τὴν γοῦν σφαῖραν τὴν ἠρεμοῦσαν ἐν παραλλήλῳ τῷ ὁρίζοντι ἐπιπέδῳ, δυνατὸν μὲν τοῦ ἐπιπέδου τὴν αὐτὴν ἔχοντος θέσιν κινεῖσθαί τε ὑπό τινος καὶ μή, τοῦ μέντοι ἐπιπέδου κλιθέντος, μὴ κινηθῆναι ἀδύνατον. Διὰ ταῦτα καὶ τοὺς ἰατροὺς ὁρῶμεν ὅτε μὲν οὐδὲν θαρροῦντας ἀποφαίνεσθαι περὶ τῶν ἀρρώστων, εἴτε ὑγιανοῦσιν, εἴτε φθαρήσονται, ὡς ἂν ἐνδεχομένων ὄντων ἀμφοτέρων, ὅτε δὲ, ἀνενδοιάστως περὶ τοῦ ἑτέρου τούτων ὡς τῷ ἀρρώστῳ πάντως τοι ὑπάρξαντος ἀποφαινομένους.

§. VII. Ἐπεὶ δέ τινες θρασύτερον ἀναστρεφόμενοι περὶ τὴν ζήτησιν τοῦ προκειμένου θεωρήματος, οἴονται δεικνύναι μὴ δὲ τοῖς θεοῖς ὡρισμένην ὑπάρχουσαν γνῶσιν τῶν ἐνδεχομένων, χρησμοὺς παράγοντες ἡμῖν περὶ τῶν μελλόντων ἀμφιβόλως ἀποφηναμένους, ῥητέον πρὸς αὐτοὺς, ἅπερ ὁ μέγας φησι Συειανὸς, ὅτι πρῶτον μὲν ἐφιστάνειν ἐχρῆν ὡς ἄλλη μὲν ἔστιν ἡ τῶν θεῶν γνῶσις καὶ νόησις, ἑτέρα δὲ ἡ τῆς προφήτιδος ἐνέργεια, κινηθείσης μὲν ἐκ θεοῦ, τεκούσης δὲ ἐν αὐτῇ καὶ λόγον μειστὸν, καὶ μέτρα, καὶ γνῶσιν ἀμφίβολον. οὐ γὰρ δὴ τὸ ἐλλαμπόμενον τοιοῦτον ἔστιν, οἷον τὸ ἐλλάμπον· ἔπειτα δὲ ὅτι καὶ τοῦ συμφέροντος ἕνεκεν τῶν ἀκουόντων πολλάκις ἀμφίβολοι δίδονται χρησμοὶ, τὴν διάνοιαν αὐτῶν γυμνάζοντες. χρῶνται γὰρ ἡμῖν ὡς αὐτοκινήτοις οἱ θεοὶ, καὶ τοῦτον τὸν τρόπον τὰ περὶ ἡμᾶς κυβερνῶσι, καὶ πάντα ἡμῖν κατὰ τὴν ἡμῶν αὐτῶν ἀξίαν ἀπονέμουσιν. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τολμηρὰ, καὶ τῶν προκειμένων εἰς ἐξέτασιν μακρὰν ἀποπλανώμενα.

§.VIII. Ὅλως δὲ ὁ πάντα ἀναγκάζων λόγος, πότερον καὶ αὐτὸ τοῦτο ἐξ ἀνάγκης συμβαίνειν τοῖς ἀνθρώποις φησὶ, τὸ λέγειν ὅτι πάντα ἠνάγκασται, ἢ ἐφ' ἡμῖν κεῖσθαι τὰς περὶ τοῦ τρόπου τῆς γενέσεως τῶν πραγμάτων δόξας; Εἰ μὲν γὰρ τὸ δεύτερον ἀληθὲς, οὐκ ἄρα πάντα ἐξ ἀνάγκης, εἰ δὲ τὸ πρότερον, πῶς δοξάζουσί τινες τὸ ἀντικείμενον, ὅτι πολλά ἐστιν ἐφ' ἡμῖν; τὸ γὰρ ὑπὸ τῆς φύσεως

anus dixit, primo quidem conſiderari oportere aliam eſſe Deorum cognitionem & intelligentiam, aliam vero prophetiſſæ operationem, quæ a Deo quidem movetur, in ſeipſa vero concipit & ſermonem partibilem, & carmina, & ambiguam ſcientiam. Non enim tale eſt illud quod illuminatur, quale illud quod illuminat. Præterea & in utilitatem audientium ſæpiuſcule cedit, quod ambigua dentur oracula, ut nempe intelligentiam eorum exerceant; Nobis enim ut ſua ſponte moventibus utuntur Dii, & hoc modo actiones noſtras gubernant, & omnia nobis ſecundum operum noſtrorum dignitatem diſtribuunt. Sed hæc forſan audacule dicta ſunt, & longe aberrant ab iis quæ nobis ad inquiſitionem propoſita ſunt.

§. VIII. In univerſum autem de ratiocinatione ea quæ rerum omnium neceſſitatem concludit, quæri poteſt, Annon hoc etiam ex neceſſitate hominibus evenire affirmet, ut omnia dicant neceſſaria eſſe, an opiniones quæ de modo generationis rerum proponuntur, in noſtra poteſtate poſitas eſſe? Nam ſi poſterius verum ſit, non igitur omnia ſunt ex neceſſitate; ſi vero prius, quomodo igitur evenit ut quidam contrarium exiſtiment, quod nempe multa in noſtra poteſtate ſint? Ut enim a natura omnia (ut illi ratiocinantur) ex neceſſitate movente, nos præter naturam ad ſuffragium contra ea quæ a natura fiunt ferendum moveamur, rationi omnino diſſonum eſt, & ſimile ac ſi quis medicæ artis profeſſor diſcipulos inſtruat, artis quam diſcere cupiunt principia auferre. Imo ſi artificem credi fas ſit aliquid præter artis ſuæ regulas facere, non in quantum artifex eſt, medicum ſcilicet abortivum aut venenum dare, ut qui animum habeat a ſeipſo moveri aptum, cum interim ars nihil conferat ad ipſius animæ perfectionem, utpote corporis & rerum externarum curam gerens, nullatenus tamen hoc de Natura fingi debet, eam quidvis fini ſuo contrarium facturam eſſe. Neque enim ut in prodigiis, ita in opinionibus materiæ ſuperfluitatem aut indigentiam cauſari poſſumus. Neque enim illis qui id fingere volunt facile eſt cauſas differentium opinionum ex differentia ea quæ in materia reperitur reddere, nec igitur affirmare poſſunt, Fatum rerum omnium cauſam eſſe. Verum de iſtis ſatis.

FINIS.

σεως τῆς πάντα ἀναγκαζούσης (ὡς ὁ ἐκείνων λόγος) κινεῖσθαι παρὰ φύσιν ἡμᾶς ἐπὶ τὸ καταψηφίζεσθαι τῶν ὑπ' αὐτῆς γινομένων, παντελῶς ἄλογον, καὶ παραπλήσιον ὡς εἴ τις ἰατρικὴν τέχνην διδάσκων δι' αὐτοῦ τούτου παρεσκεύαζε τοὺς διδασκομένους τὰς ἀρχὰς τῆς τέχνης ἧς μετήεσαν ἀναιρεῖν. Καίτοι τῶν μὲν τεχνιτῶν εἰκὸς ποιῆσαί τι τῶν παρὰ τὴν τέχνην, οὐ καθ' ὃ τοιοῦτος, οἷον τὸν ἰατρὸν δοῦναι φθόριον ἢ δηλητήριον, ἅτε ψυχὴν αὐτοκίνητον ἔχοντα, καὶ τῆς τέχνης μηδὲν συντελούσης πρὸς αὐτὴν τῆς ψυχῆς τὴν τελειότητα, τοῦ δὲ σώματος, ἢ τῶν ἐκτὸς ἐπιμελουμένης, τὴν μέντοι φύσιν ὑπεναντίον τι τῷ οἰκείῳ τέλει ποιεῖν ἀμήχανον. Οὐ μὴν οὐδ' ὡς περὶ τῶν τεράτων, οὕτω καὶ τῶν δοξῶν πλεονεξίαν τῆς ὕλης ἢ ἔνδειαν αἰτιασόμεθα. οὔτε γὰρ πλάττειν αὐτοῖς βουλομένοις ῥᾴδιον ἀποδοῦναι τῶν διαφόρων δοξῶν ἐκ τῆς κατὰ τὴν ὕλην διαφορᾶς τὰς αἰτίας, οὔτε πάντων ἔτι τὴν εἱμαρμένην αἰτίαν εἶναι ὁμολογήσουσιν. Ἀλλὰ τούτων μὲν ἅλις.

FINIS.

Elenchus Capitum
ALEX. APHROD.

Quo mens Scriptoris aliquatenus,
Et ſcripti methodus innoteſcat.

I. Præfatio ad Severum & Antoninum Impp. de Scripti inſtituto.

II. Fatum eſſe in confeſſo eſt; quid ſit, variant ſententiæ.

III. Cauſarum quatuor eſſe genera; Fatum eſſe in numero Efficientium.

IV. Efficientium cauſarum diſtinctio ex fine.

V. Fatum in ijs, quæ ſecundum rationem fiunt, locum non habere.

VI. Reperiri Fatum in ijs quæ fiunt ſec. naturam; quæ ut plurimum fiunt, non autem neceſſario. Atque hæc eſt Peripateticorum ſententia de Fato.

VII. Refutatur contraria ſententia; Primum, Quod pugnet cum manifeſtis.

VIII. Deſtructo caſu & ſpontaneo.

IX. Sublata contingentia & poſſibilitate contrarii.

X. Adverſariorum ludicra evaſio; qui, ſublata re, nomen ſervatum eunt.

XI. Deinde quod inutile reddat conſilium; (cum Natura nihil fruſtra.)

XII. Ac proinde nihil in poteſtate noſtra relinquat: ubi indicatur ſimul, cujuſmodi ſit arbitrii humani poteſtas.

XIII. Contra-ſentientium opinio de Libero arbitrio proponitur.

XIV. Expenditur.

XV. Ulterius refutatur. Nec id ſine cauſa fieri, cujus ipſe homo cauſa ſit.

XVI. Incommoda porro hujuſce ſententiæ: Quod pervertat omnem vitam.

XVII. Quod Providentiam & Vaticiniorum uſum auferat.

XVIII. Ad homines: Revincitur ab ipſis patronis hoc dogma.

XIX. Prob. deinceps Nos eſſe actionum noſtrarum dominos ex pœnis lege conſtitutis, quarum veniam facimus involuntarie peccantibus.

XX. Rurſum ipſi Aſſertores Fati aliter agunt quam ſentiunt: id eſt libere, & non tanquam ex Fato.

XXI. Demum, utra utra opinio falſa ſit, ex hac parte tutius errabitur.

XXII. Explicatur adverſariorum ſententia de Fato.

XXIII. Fatalis catena ſolvitur: Abſurditas eorum, & confugium ad cauſas incognitas.

XXIV. Eorum [Μηδὲν ἀναίτιον] defendi poteſt etiam ab ijs, qui nobiſcum ſentiunt.

XXV. Ordo & continuitas non infert cauſalitatem; ſed nec ordinis perturbatio diſſolvit unitatem mundi.

XXVI. Objectio proponitur adverſus libertatem arbitrii.

XXVII. Reſponſio duplex; Prior, penes nos eſſe ut acquiratur habitus, non item ut deponatur acquiſitus.

XXVIII. Hominem omnium eſſe animalium miſerrimum, ſiquidem malus ex neceſſitate ſit.

XXIX. Poſterior reſp. Actus eos, qui ex habitibus fluunt, manere in poteſtate.

XXX. Ex Dei præſcientia non concludi neceſſitatem eventuum; quippe contingentia, ſi præſciantur, prænoſci ut contingentia, non ut neceſſario futura.

XXXI. Vaticinia & oracula cauſas eſſe eorum, quæ prædixerint futura, abſurde & impie ſtatuitur.

XXXII. Revertitur ad præcedentem obj. & repetit reſponſionem duplicem.

XXXIII. Regeritur aſſerentibus libertatem ex moticne animalium ſec.

appetitum, Non omne, quod ex appetitu fit, eſſe in poteſtate noſtra.

XXXIV. Peccandi & recte agendi, unde Laus & vituperium, ſupplicia & præmia, oſtenditur quæ ſit vera ratio.

XXXV. Sorite adhibito, arguunt Adv. poſito fato non tolli ſupplicia & laudes.

XXXVI. Interrogationum cumulus excutitur, difflatur; infirmatis conſequentijs. Excuſantur interim, ſi Fato coacti ita differant.

XXXVII. Altera argumentatio ex eadem palæſtra refellitur, & probatur contra, Poſito fato tolli prudentiam.

XXXVIII. Epilogus & finis argumentationum.

XXXIX. Alloquium ad Impp. & concluſio operis, qua breviter innuit, quantam vim habeat ad omnem virtutem Ariſt. de Fato opinio.

Amm. Hermiæ Commentationis ſummulæ.

I. Explicatur quæſtio propoſita, ſc. An Enunciatio de futuro contingenti ſic definite vera vel falſa.

II. Quæſtionis hujus utilitatem in omnes philoſophiæ partes & ad omnem vitam redundare.

III. Argumento pro fatali neceſſitate duo; unum λογικώτερον cui facile occurritur.

IV. Alterum πραγματειῶδες & difficilius. Nam cum divina providentia minutiſſima quævis ſectetur

V. Non competit Deo, quidquam ab eo neſciri, vel indefinite ſciri: definite igitur; tollitur ergo contingens.

VI. Reſp. Deum excellentiore modo res intelligere, quàm eſt ipſarum rerum natura; contingentia itaque, utut definite præſciantur, eſſe tamen contingentia.

VII. Obiter ambiguitatis oracularis duplex affertur ratio.

VIII. Quæritur poſtremo, utrum hæc ipſa opinionum de fato differentia, a fato proceſſerit: atqui fato nos contra fatum urgeri ἄλογον. Non ſunt igitur omnia ex Fato.

FINIS.

Errata.

P*Ag.7. linea* 12 *lege* αὐτὸς δῖός τε. 16.30.*l.* καρφῶν, 17.27.*l.*ſcopo, 25.6.*l.*ut &, 31.4. Σωκράτους, 32.22.*l.* σώζειν, 35.26.ἔμελε, 36.27. ἀπαντῶν, 38.22.quin, 39.7. ἐκεῖνοι, 28.*l.*οὔσης, 40.29. προσείληπται, 41.7.*l.* ſint, 45.2.colli, 48.24.ἔσται, 52.10. εἰ ἀληθές, 54.19. confeſſo, 55.11 ἄλλων, 56.3 βουλεύσεως περιγίνεται, 23.*l.* ἄλλο, 28.*l.*κατηναγκασμένως, 29.*l.* εἴημεν, 61.2. illæ, 30.*l.* falſas, 64.8.Ἐπεὶ, 15.*l.*γίνεται, 68.17.ἀπαιτοῦσιν, 76.8 αὐτὸ, 9.*l.*οὐδὲν, 78.24.illud, 83.11. ἄλλοτ', 89.1. facta erunt. 11 *l.*accuſat, 30. hortabuntur, 91.4.ἃς, 96 11.τοῖς, 20 *l.* ἥτις, 105.6.cauſæ, 108.12 ἐν, 111.18. ὑστέρων, 127.7. πτώμεθα, 128.11. ἐνεργοῦμεν, 140, 15. ἐοικυῖαι, 27.*l.* τῶν, 141.21.ſeres. 147.17. ἀναιρεῖν, 152.26 ἁμαρτήσεται, 153.16.veritate, 156.13.τὸν. 26.*l.*τοῦ, vel ἣ, 161.13. confeſſis, 166.20.verior, 169.20.habeat, 174 2 aliorum, 22. nullam, 188.3.ἐκθέσεως, 21.*l.* ἐνδεχόμενον, 191.2. εἰ δὲ, 192.2.νοερὰν, 192.16. δυνάμεως, 197.23. futurum, 28 *l.*tempore, 199.30. βούλευσις 205.30.rei, 211.18.ὑγιανοῦσιν, 212.17.ἀποπλανώμενα.

Reliqua præli σφάλματα *levioris momenti ſunt quam ut indicentur.*